This is a digital copy of a book that was preserved for generations on library shelves before it was carefully scanned by Google as part of a project to make the world's books discoverable online.

It has survived long enough for the copyright to expire and the book to enter the public domain. A public domain book is one that was never subject to copyright or whose legal copyright term has expired. Whether a book is in the public domain may vary country to country. Public domain books are our gateways to the past, representing a wealth of history, culture and knowledge that's often difficult to discover.

Marks, notations and other marginalia present in the original volume will appear in this file - a reminder of this book's long journey from the publisher to a library and finally to you.

Usage guidelines

Google is proud to partner with libraries to digitize public domain materials and make them widely accessible. Public domain books belong to the public and we are merely their custodians. Nevertheless, this work is expensive, so in order to keep providing this resource, we have taken steps to prevent abuse by commercial parties, including placing technical restrictions on automated querying.

We also ask that you:

+ *Make non-commercial use of the files* We designed Google Book Search for use by individuals, and we request that you use these files for personal, non-commercial purposes.

+ *Refrain from automated querying* Do not send automated queries of any sort to Google's system: If you are conducting research on machine translation, optical character recognition or other areas where access to a large amount of text is helpful, please contact us. We encourage the use of public domain materials for these purposes and may be able to help.

+ *Maintain attribution* The Google "watermark" you see on each file is essential for informing people about this project and helping them find additional materials through Google Book Search. Please do not remove it.

+ *Keep it legal* Whatever your use, remember that you are responsible for ensuring that what you are doing is legal. Do not assume that just because we believe a book is in the public domain for users in the United States, that the work is also in the public domain for users in other countries. Whether a book is still in copyright varies from country to country, and we can't offer guidance on whether any specific use of any specific book is allowed. Please do not assume that a book's appearance in Google Book Search means it can be used in any manner anywhere in the world. Copyright infringement liability can be quite severe.

About Google Book Search

Google's mission is to organize the world's information and to make it universally accessible and useful. Google Book Search helps readers discover the world's books while helping authors and publishers reach new audiences. You can search through the full text of this book on the web at `http://books.google.com/`



Ex 9.615

Harvard College Library

FROM THE

CONSTANTIUS FUND

Established by Professor E. A. SOPHOCLES of Harvard University for "the purchase of Greek and Latin books, (the ancient classics) or of Arabic books, or of books illustrating or explaining such Greek, Latin, or Arabic books." (Will, dated 1880.)

XENOPHONTIS

OPVSCVLA

POLITICA EQVESTRIA ET VENATICA

RECOGNOVIT

GINVS PIERLEONI

ROMAE
APVD ALBRIGHI ET SEGATI
MCMVI

XENOPHONTIS

OPVSCVLA

POLITICA EQVESTRIA ET VENATICA

RECOGNOVIT

GINVS PIERLEONI

ROMAE
APVD ALBRIGHI ET SEGATI
MCMVI

HARVARD COLLEGE
OCT 23 1907
LIBRARY.

ARPINO — Tipografia di Giovanni Fraioli

PATRIS MEI MANIBVS

S.

PRAEFATIO.

Opusculorum politicorum equestrium et venaticorum quae sub Xenophontis nomine feruntur quamquam singulorum recensiones typis Weidmanni in lucem prodierant, multis vero annis ante eius quod est de Reditibus, nunc quidem, Ae. Piccolomini auctore, H. Diels auspice, ceterorum quae Hipparchicus, de re equestri, Cynegeticus, Lacedaemoniorum respublica inscribuntur, utilissimam tamen hanc novam editionem esse duxi quae post Dindorfianam Oxoniensem a. 1866, Teubnerianam a. 1883 libellos ad fidem optimorum codicum plurimorumque doctorum virorum cum praeteritae tum nostrae aetatis opera in melius refictos omnes una comprehenderet. Quod Albrighi et Segati, bybliopolae honestissimi, qua sunt liberalitate probaverunt.

Ac primum quidem quaerendum est huius editionis in fronte Xenophontis nomen recte sit adpictum necne. Quod si libelli reliquias de Atheniensium Republica iam a Xenophonte firmissimis quidem argumentis prope omnium consensu abiudicati consulto in hac edit. praetermisi, ceteros non eodem iure huic auctori eripiendos duxi, quamquam cum in omnibus tum in Lacedaem. Republ. et in Cynegetico multa inveniebantur a Xenophontei sermonis usu abhorrentia, constructiones novitiae, vocabula neque ab ipso alibi neque ab aequalibus usurpata. Nam praeterquam quod totum hoc ab singulis vocabulis genus argumentorum saepe lubricum et fallax existimare licebat, ut recte statuit L. Dindorfius (ed. Oxon. p. X), re-

vera nonnumquam insolens scribendi genus excusabat res insolens de qua ageretur, saepius vero temporis iniuriam, librariorum audaciam verborum contextus praeseferebat. Quorum vitiorum cum multa hac editione sint sanata, plura optandum est ut decursu temporis ingeniosorum hominum doctrina tollantur.

Utcumque est quo ordine haec opuscula fuerint conscripta haud facile est diiudicare. Parva enim fides codicibus est tribuenda, in quibus non suum quisque libellus locum obtinet; ceterum forsitan — mea quidem sententia — argui possit grammatici cuiusdam arbitrio litterarum ordine omnia Xen. opera esse olim disposita, qui etiamnunc quamquam praeposterus hic illic agnoscere licet, hoc fere modo: *Ἀπομνημονεύματα Σωκρ., Ἱέρων, Ἱππαρχικός, Κυνηγετικός, Κύρου ἀνάβασις, Κύρου παιδεία, Οἰκονομικός, Περὶ ἱππικῆς, Πολιτεία Λακεδαιμ., Πολιτεία Ἀθηναίων, Πόροι, Συμπόσιον* (cfr. cod. Marcian. 511, Abb. Flor. 2657, Laur. LV 21 etc.) Neque maior est habenda fides Demetrio Magnesio ap. Laert. Diog. II 56, cuius ordinem res singulis operibus pertractatas respicere mihi persuadeo. Haec enim Laertii verba: *Συνέγραψε (Ξενοφῶν) δὲ βιβλία πρὸς τετταράκοντα ἄλλων ἄλλως διαιρούντων· τήν τ' Ἀνάβασιν.... καὶ Κύρου παιδείαν καὶ Ἑλληνικά* (scilicet genus historicum) *καὶ Ἀπομνημονεύματα Συμπόσιόν τε καὶ Οἰκονομικὸν* (scilicet dialogos Socraticos) *καὶ Περὶ ἱππικῆς καὶ Κυνηγετικὸν καὶ Ἱππαρχικὸν* (scilicet de re equestri et venatica) *Ἀπολογίαν τε Σωκράτους* (haec nimirum transposita suo loco cessit) *καὶ Περὶ πόρων καὶ Ἱέρωνα ἢ Τυραννικὸν Ἀγεσίλαόν τε καὶ Ἀθηναίων καὶ Λακεδαιμονίων πολιτείαν....* (sc. genus politicum). Cui disponendi rationi, quod ad hanc

edit. pertinet, prorsus obstant Xenophontis postrema verba de Re Equ. *ἃ δὲ ἱππάρχῳ προσήκει εἰδέναι τε καὶ πράττειν ἐν ἑτέρῳ λόγῳ δεδήλωται,* ex quibus colligitur Hipparchicum ante libellum *Περὶ ἱππικῆς* esse compositum. Neque vero aliunde succurrunt argumenta quibus probetur quo quisque tempore libellus conscriptus sit, quaeque ex ipsis opusculis de tempore indicia eruere possumus alii aliter sunt interpretati. Vulgatum igitur ordinem secutus sum; seclusi tamen quae mihi horum libellorum authentiae assertori ex temporis ratione aut ex genere scribendi subditicia viderentur, scil. Reipubl. Lacedaem. cap. XIV, Cynegetici epilogum (XII 10-22, XIII), quo sententiae tantum, iam XII 1-9 pertractatae, amplioribus verbis explicarentur, ita ut libellus recte verbis *πάσχουσαν κακῶς* expleretur.

Ad librorum autem traditam scripturam ut veniamus - reliquiae enim quas antiqui papyri servaverunt parvi admodum sunt pretii (1) - omnes codices quibus opuscula continentur ex archetypo fluxisse manifestum est, litteris uncialibus exarato; cuius haud dissimilia exemplaria illa quibus usi sunt I. Pollux, I. Stobaeus ceterique qui ex his libellis vel multa vel pauca expresserunt, iam ab impostore quodam deturpata.

Ex hoc archetypo plura apographa ducta, alia alios libellos continentia, quae in multiplices familias discessere. Quod adumbrari liceat hoc stemmate, ut primo obtutu pateat quae inter omnes horum opusculorum codices affinitas intercedat:

(1) Vectigal. I 5-6, papyro servat. sec. II p. Chr.; cfr. Wilcken Zu den Papyri der Münchener Bibliotek. Archiv für Papyrusforschung. Leipzig 1901 I 5, 468 sqq.

I. Pollucis exempl.
I. Stobaei exempl.

Archetypus
litt. uncial.
exarat.

Codices
optimae notae
X

Codices
deterioris notae

Ψ Σ Ω Υ

(A) **Vindobon. IV 37** E. I V. (s. XVI)
(B) **Vatican. 989** H. E. V. (s. XIII)
(A) **Vatican. 1335** L. R. (s. XII)
(Vatican. 1950
Mutinensis 145)

(M) **Marcianus 511** L. R. H. E. V. (s. XIII)
(Marcian. 368
Marcian. 369
Laurent. 55, 22
margo Victorii
margo Villoisonis)
(D) **Parisin. 2737** V. (s. XVI)

Laurent. LV 21 L. R. H. E. V. (s. XIV)
(Perusinus B, 34
Vratislaviensis 15 H. V.
Parisin. 2832 V.)
Vatican. 1619 H. E. + Ψ = L. V. s. XV)
(Abb. Flor. 110)
Iuntina
Abb. Flor. 2902 + Ψ = L.
Parisin. 1644 L.
Parisin. 2955 E.
Laurent. LXIX, 25 L.
Urbinas 93 L.

Lipsiensis IX L. H. E. (s. XIV)
Vatican. 1334
Vatican. 1337 L.

Laurent. LXXX 13 L. H. E. (s. XIV)
Vindob. IV 37 L. H. E²
Parisin. 1643 L. H. E.
Parisin. 1645 L.
Augustanus H.
Urbinas 93 E.
Vindobon. V 95 L. H. E. V.
Oxoniensis Bodl. 39 H. E.
Londinensis 5110 H. E.
Parisin. 1774 L.
Parisin. 2775 L.
Parisin. 2077 L.
Vindobon. 208 L.
Parisin. 2955 L.

Siglo L. significavi Remp. Laced.;
» R. » de Redit.;
» H. » Hipparchic.;
» E. » de re Equ.;
» V. » de Venatione.

Cum nulla littera adpingitur, intellegendum est codicem eosdem continere libellos atque archetyp.

Quibus omnibus libris hac ratione usus sum ut alterius classis codicibus nisus deterioris notae manifesta vitia prioris tantum corrigerem. Sed ne optimis quidem codicibus omnino me addixi, quod adtinet ad res orthographicas. In quo non omnia admisi quae Dindorfius contra librorum auctoritatem in edit. Oxoniens.

Servavi autem imperativorum formas in *-έτωσαν, -ήτωσαν, -(έ)σθωσαν, -στωσαν,* quamquam plerique Macedonicas iudicant, *ἐπιμελεῖσθαι* pro *ἐπιμέλεσθαι, φιλωνείκως* pro *φιλονίκως;* repudiavi *εἴσω* a Dindorfio illatum pro *ἔσω;* scripsi ubique *θαρσεῖν, ἱππῆς, παλαίτατοι, κάεσθαι, λῄζεσθαι, πρῴ, μειγνύναι;* *ι* subscripsi verbis *σῴζειν, ἀποθνῄσκειν;* abieci optativorum formas *-οῖ* pro *-οίη, -αιεν* pro *-ειαν, -είημεν* pro *-εῖμεν, -είητε* pro *-εῖτε, -είησαν* pro *-εῖσαν;* restitui *πλείους, πλείω* pro *πλείονες, πλείονα,* quam alteram formam rarius invenimus in lib. de Redit. et de Re Eq., numquam in Lac. Rep. et in Cyneg.

In ceteris autem maxima erga librorum traditam scripturam reverentia egi; ubi vero verborum contextus manifeste aegrotaret medelam afferre conatus sum coniecturis nisus, quae satis probabiles viderentur, paucis meis, pluribus virorum doctorum quorum nomina subicio, sigla uncis quadratis inclusa addens, quibus in adnotatione sum usus:

Bahrdt W. Genethliacon Gottingense (Halle a. S. 1888, p. 166),

Bake A. Mnemosyne, VIII,

Bergk Th. Zeitschrift Alterth. W. (1854, p. 432),

Bloomfield ap. Zurborg quem v.,

Boeck Sitzungsbericht d. Berl. Akad. 1815, p. 91,

Brodaeus I. (Brodeau) Adnotationes in omnia Xenophontis opera (Basileae 1569),

Camerarius, Camerarii coniecturae ex Schneideri edit. prolatae,

Castalio S. (Chateillon) Xen. opp. (Basileae, 1540),

Cerocchi P. [Cer.] Studi ital. di Fil. Class. VIII 73 sqq.; Xen. Hipparch. recens. P. C. (Berolini, Weidmann. 1901),

Christian, Christiani coniecturae ex Schneideri edit. prolatae,

Cobet C. G. [C.] Variae lectiones (Lugd. Batav. 1854; ed. II 1873); Novae lectiones (Lugd. Batav. 1858),

Courier P. L. [Cour.] Du Commandement de la Cavalerie et de l'Equitation etc. (Paris 1813),

Deventer de vectigal. (Traiect. ad Rhen., 1851),

Diels H. ap. Cerocchi, Tommasini, Pierleoni quos v.,

Dindorf L. [Dind.] Xen. Opuscula politica equ. et venat. (Oxonii 1866),

Dobraeus P. Adversaria (I. Scholefield, Cantabrigiae 1831),

Gesner C., Gesneri coniecturae ex Schneideri edit. prolatae,

Haase [Haas.] Xen. Resp. Laced. (Berolini, 1833),

Hager H. Journ. of Philology X (1881) 34-36,

Hartman Anal. Xen. nova. 1889,

Heindorf, Heindorfii coniecturae cum Schneidero communicatae,

Hense O. Stobaeanae editionis scidae manuscriptae cum Pierleoni communicatae,

Hermann Gdf. Opuscula I, 1827 p. 63-70,

Hertlein [Hertl.] F. C. Coniecturen z. griech. Prosaikern (Wertheim 1861),

Hertlin N. Iahrbb. LXXVIII 323; de Polyaeno (Werth. 1854),

Herwerden v. [Herw.] Mnemosyn. XXIII; Rev. de Philologie IV 20 sqq.,

Hutchinson, Hutchinsonii coniecturae ex Schneideri edit. prolatae,

Iacob Observationes in aliquot X. loca (Halae, 1819),

Iackson H. Xen. Cyn. XII 6. Iourn. of Phil. 55, 136,

Iacobs Fr. Corollarium criticum (1790),

Kaibel ap. Zurborg; Hermes 25, 591,

Köhler Sitzungsbericht d. Berl. Akad. 1896 I 368 sqq.,

Leeuven v. I. ad Xen. de Venat. VIII, 1. Mnemosyn. 1900, 435,

Löwenklau [Löw.] Xen. opp. F. Leonclavii (Basileae 1569; ed. II 1572; ed. III access. Aem. Porti, Fr. Porti notae, Francofurti, 1596, Lutetiae Paris. 1625),

Madvig Add. Crit. (Havniae, 1871) 361,

Morus, Mori coniecturae ex Schneid. edit. prolatae,

Nitsch Zeitschrift Öst. Gymn. 1874, 956 sqq.,

Piccolomini Ae., coniecturae cum Cerocchi, Tommasini, Pierleoni comunicatae,

Portus cfr. Löwenklau,

Radermacher L. [Raderm.] Rhein. Mus. LI 596 sqq. LII 13 sqq.,

Richards H. Classical Review XI 237 (1897) XVIII 204 (1904),

Rühl Fr. Zeitschr. Öst. Gymn. 1880, 401-411 N. Iahrbb., 1891,

Rühnken ap. Saupp. Lexil. Xenoph. s. v. *ἀδικόγναθος*,

Sauppe [Saupp.] ap. Schneideri edit. a. 1866; ed. Tauchitz. a. 1866,

Schaefer Xen. opp. (Lipsiae, 1811); Meletemata critt. (Lipsiae 1806); Schol. Apoll. Rhod.,

Schanz H. Rhein Mus. XXXVI, 215 sqq.,

Schenkl K. Festschrift f. O. Bennsdorf, 21 sqq.; Bursians Iahresb. 54 (1888),

Schneider I. G. [Schneid.] Xen. opp. (Lipsiae 1801 sqq.); post Schneiderum ed. Saupp. (vol. VI Lipsiae 1838),

Stephanus (H. Estienne) [Steph.] Xen. opp. Parisiis 1561, ed. II 1581,

Sturz Lex. Xenoph. Lipsiae 1801-1804,

Tommasini V. [Tomm.] Xen. de Re Equ. rec. V. T. (Berolini, Weidmann. 1902),

Verres P. de Silii Punicis, Münster, 1886,

Weiske B. [Weisk.] Xen. scripta (Lipsiae, 1798-1804),

Wellsiana, Xen. opp. ex rec. E. Wells (Lipsiae 1763. 1764),

Wiesenthal M. N. Philolog. Rundschau, 1903, 293 sqq.,

Wilamowitz ap. Zurborg; Philol. Untersuch. I 203,

Wulff Quaest. in Xen. de R. Lac. Münster, 1884,

Zeune Xen. Oeconom. Apol. Socratis etc. (Lipsiae, 1782),

Zurborg A. [Zurb.] Xen. de Red. rec. A. Z. (Berolini, Weidmann. 1876) (1).

(1) Plures scriptores de horum vel uno vel altero Xenoph. opuscul. vide ap. Saupp. (edit. Tauchnitz.) nominatos: recentiores vero in Bursians Iahresb. 1888, 54 p. 109 sqq. (K. Schekl.), 1902, 117 p. 47 sqq. (Richter). Ceterum animadvertendum est mihi non omnes hos libros inspicere licuisse.

Est ubi coniecturas meas siglo P. adiecto protuli. Cfr. Xen. Cyn. rec. G. Pierleoni (Berolini, Weidmann. 1901); Emendation. in Xen. Remp. Lac. (Studi Ital. di Fil. Class. XIII 53 sqq.); Xen. Resp. Lac. rec. G. P. (Weidmann. 1905); Animadvers. in Xen. lib. de Redit. (Bollettino di Fil. Class. XII 5).

Nonnullorum tamen locorum corruptelam stellula adpicta indicare malui quam libidine coniectandi tentare quae vix virorum ingenio et doctrina sanabilia ducerem.

Hac igitur ratione hanc editionem instituens expectationem explens desiderii multis annis ante a G. Sauppio (ed. Schneider. VI, p. XVI) expressi, qui mirabatur quid esset quod, cum de reliquis libris Xenophonteis alius liber super alium ederetur, in his opusculis perraro et fere numquam aliquis elaboraret, fundamenta quaedam graviorum de genere dicendi verborumque usu Xenophonteo inquisitionum atque investigationum pro meis viribus iacere volui. In quod ut viri docti operam studiumque conferant optabile est.

Romae, m. Dec. MCMV.

SIGLORVM CONSPECTVS.

A. cod. Vat. 1335 L. R.; Vindob. IV 37 E.[1] V.
B. cod. Vat. 989 H. E. V.
C. Cobet.
D. cod. Parisin. 2737 V.
M. cod. Marcianus 511 L. R. H. E. V.
S. I. Stobaeus.
V.[3] cod. Vindob. V 95 L.
Z. Zurborg.

SUMMARIA.

REIPVBLICAE LACEDAEMONIORVM.

Instituta a Lycurgo descripta de coniugio ineundo et de procreatione sobolis (c. 1.); de puerorum educatione (c. 2.); de adulescentium disciplina (c. 3.); de institutis virorum et provectiorum aetate (c. 4.); de phidițiis; de corpore pro modo cibi exercendo (c. 5.); de cura et usu communi liberorum, servorum et bonorum omnium (c. 6.); de lucri studio liberis hominibus interdicto (c. 7.); de oboedientia magistratibus et legibus praestanda (c. 8.); de ignavorum ignominia (c. 9.); de iudicio senibus in senatum legendis subeundo; de civiles virtutes colendi necessitate omnibus imposita (c. 10.). De acie Laconica (c. '11) et de re castrensi (c. 12); de auctoritate et munere regis in bello et de belli gerendi ratione (c. 13). De depravata Lycurgi disciplina (c. 14.). Iura et commoda regis et pacta singulis mensibus a rege et civitate renovata (c. 15.).

DE VECTIGALIBVS LIBRI.

Quomodo terra Attica natura ad redituum rationes augendas sit apta (c. 1.). De modo augendi numerum inquilinorum (c. 2.). De commodis mercatoribus concedendis ut eorum negotia civitati prosint (c. 3.). Quomodo ex argentifodinis, quarum est in Attica copia, fructus ad rem publicam redire possit ostenditur (c. 4.). Ad tuenda vectigalia pace opus esse (c. 5.). Quibus rebus perfectis multa ad civitatem commoda esse redundatura (c. 6.).

HIPPARCHICI.

Quomodo magister equitum perficere possit, ut sit iustus equitum numerus, equi commodi, boni et modesti equites et probabiles tribuni (c. 1.). Quo ordine equites ad itinera omnis generis sint collocandi (c. 2.); qua ratione decursiones per urbem et per gymnasia, cum religionis tum lustrationis causa, sint instituendae (c. 3.); quae itinera in bello facienda, et quomodo bellum caute gerendum; quibus artibus hostes sint decipiendi (c. 4.). Quomodo dux efficere possit, ut et amore et auctoritate apud

suos valeat (c. 6.). Qua prudentia et calliditate instructus esse debeat equitum magister ut adversus hostes res prospere eveniant. (c. 7.). Quid faciendum sit ut adversus equites pari numero feliciter decertes (c. 8.). Quomodo mille hominum equitatus Atheniensibus confici possit (c. 9).

DE RE EQVESTRI LIBRI.

De indole generosi pulli spectanda, ne quis circumveniatur in emtione (c. 1.); de educendis pullis (c. 2.); de ratione spectandi equi vectoris (c. 3.); de cura ipsius domini circa equum (c. 4.); de cura et negotiis equisonis (c. 5. 6.); quae sit ratio equum conscendendi, quae insidendi; quibus cursibus equus exerceri debeat (c. 7.); quomodo erudiendus ut transsiliat fossas, decurrat per declivia, exsiliat in montana. De ratione meditationis equestris ad belli usum (c. 8.). De equos feroces tractandi ratione (c. 9.). De freni ratione et usu ad equi habitum et speciem formandam (c. 10.). Qui equi et quomodo erudiantur, ut subinde anteriora magnifice in altum extollant (c. 11.). De armis equestribus et de iaculorum missione (c. 12.).

CYNEGETICI.

Commendatur venatio ab inventoribus diis et cultoribus hominibus, quorum principes cum laude virtutis commemorantur (c. 1.). De leporum venatore eiusque ministro; de retibus (c. 2.). Leporariorum canum cum in forma et habitu corporis tum in investigandi ratione quae sint vitia (c. 3.), quae virtutes docetur. De tempore et locis ad canum investigationes aptis (c. 4.); de leporum vestigiis, cubili, forma et natura (c. 5); de canun vinculis reliquoque ornatu et de tempore investigationi leporum apto; de habitu et officio custodis retiarii; de habitu venatoris et de tota investigandi, persequendi et capiendi leporis ratione (c. 6.); de catulis procreandis, educandis et instituendis ad venandum (c. 7.); de leporibus per hiemem (c. 8.), de hinnulis et cervis (c. 9.), de apris (c. 10.), de leonibus, pardis, similibusque belluis venandis (c. 11.). De usu venationis cum ad bellum, tum ad tuendam rem familiarem et ad exercendam omnem virtutem (c. 12.). De sophistis, vanis sapientiae et virtutis tradendae doctoribus. Monentur iuvenes ut, horum sophistarum doctrinas spernentes, venationis disciplina ad virtutem parandam utantur (c. 13.).

ΛΑΚΕΔΑΙΜΟΝΙΩΝ ΠΟΛΙΤΕΙΑ.

Ἀλλ' ἐγὼ ἐννοήσας ποτέ, ὡς ἡ Σπάρτη τῶν ὀλι- I
γανθρωποτάτων πόλεων οὖσα δυνατωτάτη τε καὶ
ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη, ἐθαύμασα, ὅτῳ
ποτὲ τρόπῳ τοῦτ' ἐγένετο· ἐπεὶ μέντοι κατενόησα τὰ
ἐπιτηδεύματα τῶν Σπαρτιατῶν, οὐκέτι ἐθαύμαζον. 2
Λυκοῦργον μέντοι τὸν θέντα αὐτοῖς τοὺς νόμους, οἷς
πειθόμενοι ηὐδαιμόνησαν, τοῦτον καὶ θαυμάζω καὶ
εἰς τὰ ἔσχατα [μάλα] σοφὸν ἡγοῦμαι. ἐκεῖνος γὰρ οὐ
μιμησάμενος τὰς ἄλλας πόλεις, ἀλλὰ καὶ ἐναντία
γνοὺς ταῖς πλείσταις, προέχουσαν εὐδαιμονίᾳ τὴν πα-
τρίδα ἐπέδειξεν. αὐτίκα γὰρ περὶ τεκνοποιίας, ἵνα ἐξ 3
ἀρχῆς ἄρξωμαι, οἱ μὲν ἄλλοι τὰς μελλούσας τίκτειν
καὶ καλῶς δοκούσας κόρας παιδεύεσθαι καὶ σίτῳ ᾗ
ἀνυστὸν μετριωτάτῳ τρέφουσι καὶ ὄψῳ ᾗ δυνατὸν
μικροτάτῳ· οἶνου γε μὴν ἢ πάμπαν ἀπεχομένας ἢ
ὑδαρεῖ χρωμένας διάγουσιν. ὥσπερ δὲ οἱ πολλοὶ τῶν
τὰς τέχνας ἐχόντων ἑδραῖοί εἰσιν, οὕτω καὶ τὰς κό-
ρας οἱ ἄλλοι Ἕλληνες ἠρεμιζούσας ἐριουργεῖν ἀξιοῦσι.
τὰς μὲν οὖν οὕτω τρεφομένας πῶς χρὴ προσδοκῆ-

1 *Λακεδαιμονίων* libri, index Laertii Diog. II 57, [Longin.] de subl. 4, 4; *Λακώνων* Pollux VI 142, Harpocrat. s. v. *μόραν*, Lexic. Berol. (post Didymum) s. v. *μορῶν*, Stobaeus III Fl. t. 44, 24. | 9. *μάλα* del. Saupp.

4 σαι μεγαλεῖον ἄν τι γεννῆσαι; ὁ δὲ Λυκοῦργος
ἐσθῆτας μὲν καὶ δούλας παρέχειν ἱκανὰς ἡγήσατο
εἶναι, ταῖς δ' ἐλευθέραις μέγιστον νομίσας εἶναι τὴν
τεκνοποιίαν πρῶτον μὲν σωμασκεῖν ἔταξεν οὐδὲν
ἧττον τὸ θῆλυ τοῦ ἄρρενος φύλον· ἔπειτα δὲ δρόμου 5
καὶ ἰσχύος, ὥσπερ καὶ τοῖς ἀνδράσιν, οὕτω καὶ ταῖς
θηλείαις ἀγῶνας πρὸς ἀλλήλας ἐποίησε, νομίζων ἐξ
ἀμφοτέρων ἰσχυρῶν καὶ τὰ ἔκγονα ἐρρωμενέστερα
5 ἂν γίγνεσθαι. ἐπεί γε μὴν γυνὴ πρὸς ἄνδρα ἔλθοι,
ὁρῶν τοὺς ἄλλους τὸν πρῶτον τοῦ χρόνου ἀμέτρως 10
ταῖς γυναιξὶ συνόντας, καὶ τούτου τἀναντία ἔγνω·
ἔθηκε γὰρ αἰδεῖσθαι μὲν εἰσιόντα ὀφθῆναι, αἰδεῖσθαι
δ' ἐξιόντα. οὕτω δὲ συνόντων ποθεινοτέρως μὲν
ἀνάγκη σφῶν αὐτῶν ἔχειν, ἐρρωμενέστερα δὲ γίγνε-
σθαι, εἴ τι βλάστοι οὕτω, μᾶλλον ἢ εἰ διάκοροι ἀλ- 15
6 λήλων εἶεν. πρὸς δὲ τούτοις καὶ ἀποπαύσας τοῦ
ὁπότε βούλοιντο ἕκαστοι γυναῖκα ἄγεσθαι, ἔταξεν ἐν
ἀκμαῖς τῶν σωμάτων τοὺς γάμους ποιεῖσθαι, καὶ
7 τοῦτο συμφέρον τῇ εὐγονίᾳ νομίζων. εἴ γε μέντοι
συμβαίη γηραιῷ νέαν ἔχειν, ὁρῶν τοὺς τηλικούτους 20
φυλάττοντας μάλιστα τὰς γυναῖκας, τἀναντία καὶ
τούτου ἐνόμισε· τῷ γὰρ πρεσβύτῃ ἐποίησεν, ὁποίου
ἀνδρὸς σῶμά τε καὶ ψυχὴν ἀγασθείη, τοῦτον ἐπα-
8 γομένῳ τεκνοποιήσασθαι. εἰ δέ τις αὖ γυναικὶ μὲν
συνοικεῖν μὴ βούλοιτο, τέκνων δὲ ἀξιολόγων ἐπιθυ- 25
μοίη, καὶ τοῦτο νόμιμον ἐποίησεν, ἥντινα [ἂν] εὔ-
τεκνον καὶ γενναίαν ὁρῴη, πείσαντα τὸν ἔχοντα ἐκ
ταύτης τεκνοποιεῖσθαι. καὶ πολλὰ μὲν τοιαῦτα συν-

---

9 ἂν add. P. | 15 *βλάστοι* Saupp. *βλαστάνοιεν* S. *βλάπτοιεν* s. - *στοιεν* libri | 19 *συμφέρειν* C. | 23 *καὶ σῶμα καὶ ψ.* S. | 23.24 *ἐπαγαγομένῳ* Hense | 26 *νόμιμον* S. *νόμον* libri | *ἂν* del. Schneid. | 28 *ποιεῖσθαι* S.

ἐχώρει. αἵ τε γὰρ γυναῖκες διττοὺς οἴκους βούλονται κατέχειν, οἵ τε ἄνδρες ἀδελφοὺς τοῖς παισὶ προσλαμβάνειν, οἳ τοῦ μὲν γένους καὶ τῆς δυνάμεως κοινωνοῦσι, τῶν δὲ χρημάτων οὐκ ἀντιποιοῦνται. περὶ μὲν δὴ τεκνοποιίας οὕτω τἀναντία γνοὺς τοῖς ἄλλοις εἴ τι διαφέροντας καὶ κατὰ μέγεθος καὶ κατ' ἰσχὺν ἄνδρας τῇ Σπάρτῃ ἀπετέλεσεν, ὁ βουλόμενος ἐπισκοπείτω.

Ἐγὼ μέντοι, ἐπεὶ καὶ περὶ γενέσεως ἐξήγημαι, II
βούλομαι καὶ τὴν παιδείαν ἑκατέρων σαφηνίσαι. τῶν μὲν τοίνυν ἄλλων Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς παιδεύειν, ἐπειδὰν τάχιστα αὐτοῖς οἱ παῖδες τὰ λεγόμενα συνιῶσιν, εὐθὺς μὲν ἐπ' αὐτοῖς παιδαγωγοὺς θεράποντας ἐφιστᾶσιν, εὐθὺς δὲ πέμπουσιν εἰς διδασκάλων μαθησομένους καὶ γράμματα καὶ μουσικὴν καὶ τὰ ἐν παλαίστρᾳ. πρὸς δὲ τούτοις τῶν παίδων πόδας μὲν ὑποδήμασιν ἀπαλύνουσι, σώματα δὲ ἱματίων μεταβολαῖς διαθρύπτουσι· σίτου γε μὴν αὐτοῖς γαστέρα μέτρον νομίζουσιν. ὁ δέ γε Λυκοῦρ- 2
γος, ἀντὶ μὲν τοῦ ἰδίᾳ ἕκαστον παιδαγωγοὺς δούλους ἐφιστάναι, ἄνδρα ἐπέστησε κρατεῖν αὐτῶν ἐξ ὧνπερ αἱ μέγισται ἀρχαὶ καθίστανται, ὃς δὴ καὶ παιδονόμος καλεῖται. τοῦτον δὲ κύριον ἐποίησε καὶ ἀθροίζειν τοὺς παῖδας, καὶ ἐπισκοποῦντα, εἴ τις ῥᾳδιουργοίη, ἰσχυρῶς κολάζειν. ἔδωκε δ' αὐτῷ καὶ τῶν ἡβώντων μαστιγοφόρους, ὅπως τιμωροῖεν ὅτε δέοι, ὥστε πολλὴν μὲν αἰδῶ, πολλὴν δὲ πειθὼ ἐκεῖ συμπαρεῖναι. ἀντί γε μὴν τοῦ ἀπαλύνειν τοὺς πόδας ὑποδήμασιν 3
ἔταξεν ἀνυποδησίᾳ κρατύνειν, νομίζων, εἰ τοῦτ' ἀσκή-

2.3 λαμβάνειν S. | 3.4 κοινωνήσουσι S. | 7-8 σκοπείτω S. | 19 δὲ] γὰρ S. | γε om. libri praet. V³ | 20 ἕκαστον Schneid.: ἕκαστος s. ἑκάστοις | 23 ἀθρ.] καθίζειν S.

σειαν, πολὺ μέν ῥᾷον ἂν ὀρθιάδε ἐκβαίνειν, [ἀσφαλέστερον δὲ πρανῆ καταβαίνειν,] καὶ πηδῆσαι δὲ καὶ ἀναθορεῖν καὶ δραμεῖν θᾶττον ἀνυπόδητον, [εἰ ἠσκηκὼς εἴη τοὺς πόδας,] ἢ ὑποδεδεμένον. καὶ ἀντί γε
4 τοῦ ἱματίοις διαθρύπτεσθαι, ἐνόμισεν ἑνὶ ἱματίῳ δι' ἔτους προσεθίζεσθαι, [νομίζων οὕτω καὶ πρὸς ψύχη καὶ πρὸς θάλπη ἄμεινον ἂν παρασκευάσασθαι]. σῖ-
5 τόν γε μὴν ἔταξε τοσοῦτον ἔχοντα συμβολεύειν τὸν εἴρενα, ὡς ὑπὸ πλησμονῆς μὲν μήποτε βαρύνεσθαι, τοῦ δὲ ἐνδεεστέρως διάγειν μὴ ἀπείρως ἔχειν, [νομίζων τοὺς οὕτω παιδευομένους μᾶλλον μὲν ἂν δύνασθαι, εἰ δεήσειεν, ἀσιτήσαντας ἐπιπονῆσαι, μᾶλλον δ' ἄν, εἰ παραγγελθείη, ἀπὸ τοῦ αὐτοῦ σίτου πλείω χρόνον ἐπιταθῆναι, ἧττον δ' ἂν ὄψου δεῖσθαι, εὐχερέστερον δὲ πρὸς πᾶν ἔχειν βρῶμα, καὶ] ὑγιεινοτέ-
6 ρως δ' ἂν διάγειν, καὶ εἰς μῆκος δ' ἂν [αὐξάνεσθαι] τὴν ῥαδινὰ τὰ σώματα ποιοῦσαν τροφὴν μᾶλλον συλλαμβάνειν ἡγησάμενος ἢ τὴν διαπλατύνουσαν τῷ σίτῳ. ὡς δὲ μὴ ὑπὸ λιμοῦ ἄγαν αὖ πιέζοιντο, ἀπραγμόνως μὲν αὐτοῖς οὐκ ἔδωκε λαμβάνειν ὧν ἂν προσδέωνται, κλέπτειν δ' ἐφῆκεν ἔστιν ἃ τῷ λιμῷ ἐπικουροῦντας. καὶ ὡς μὲν οὐκ ἀπορῶν ὅ, τι δοίη
7 ἐφῆκεν αὐτοῖς τὸ μηχανᾶσθαι τὴν τροφήν, οὐδένα οἶμαι τοῦτο ἀγνοεῖν· δῆλον δ' ὅτι τὸν μέλλοντα κλωπεύειν καὶ νυκτὸς ἀγρυπνεῖν δεῖ καὶ μεθ' ἡμέραν

1 *ὀρθιάδε* Schneid. : *ὄρθια δὴ εὖ* s. *ὄρθια δὲ* s. *ὄρθια* | *ἐκβαίνειν* S. *βαίνειν* libri | 1.2 *ἀσφ.-καταβ.* om. S. del. P. | 3 *εἰ* - 4 *πόδας* praeeunte Schneid. del. P. | 4 *καὶ* - *γε*] *ἀντὶ δὲ* S. | 5 *ἑνὶ ἱμ.*] *δερματίῳ* S. | 6 *νομίζων* - 7 *παρασκ.* om. S. del. P. | 7 *παρεσκευάσθαι* C. | 8 *μὴν* - 9 *εἴρενα*] *μὴν ἔχειν συνεβούλευεν* S. | 9 *εἴρενα* Schneid.: *ἄρρενα* | 10 *νομίζων* - 15 *καὶ* om. S. del. P. | 12 *ἔτι πονῆσαι* Hutchinson | 14 *ἀποτραφῆναι* Herw. | 16 *δ'* alter. S. om. libri | *αὐξάνεσθαι* del. Diels | 18 *ἡγησάμενος* S. *ἡγήσατο* libri.

ἀπατᾶν καὶ ἐνεδρεύειν, καὶ κατασκόπους δὲ ἑτοιμάζειν [τὸν μέλλοντά τι λήψεσθαι]. ταῦτα οὖν δὴ πάντα [δῆλον ὅτι] μηχανικωτέρους τῶν ἐπιτηδείων βουλόμενος τοὺς παῖδας ποιεῖν καὶ πολεμικωτέρους οὕτως ἐπαίδευσεν. εἶποι δ' ἂν οὖν τις, τί δῆτα, εἴπερ τὸ 8
κλέπτειν ἀγαθὸν ἐνόμιζε, πολλὰς πληγὰς ἐπέβαλε τῷ ἁλισκομένῳ; ὅτι, φημὶ ἐγώ, καὶ τἆλλα, ὅσα ἄνθρωποι διδάσκουσι, κολάζουσι τὸν μὴ καλῶς ὑπηρετοῦντα. κἀκεῖνοι οὖν τοὺς ἁλισκομένους ὡς κακῶς κλέπτοντας τιμωροῦνται. καὶ ὡς πλείστους δὴ ἁρπάσαι τυ- 9
ροὺς παρ' Ὀρθίας καλὸν θείς, μαστιγοῦν τούτους ἄλλοις ἐπέταξε, τοῦτο δὴ δηλῶσαι καὶ ἐν τούτῳ βουλόμενος ὅτι ἔστιν ὀλίγον χρόνον ἀλγήσαντα πολὺν χρόνον εὐδοκιμοῦντα εὐφραίνεσθαι. δηλοῦται δὲ ἐν τούτῳ, ὅτι καὶ ὅπου τάχους δεῖ ὁ βλακεύων ἐλάχιστα μὲν ὠφελεῖται, πλεῖστα δὲ πράγματα λαμβάνει. ὅπως 10
δὲ μηδ' εἰ ὁ παιδονόμος ἀπέλθοι, ἔρημοί ποτε οἱ παῖδες εἶεν ἄρχοντος, ἐποίησε τὸν ἀεὶ παρόντα τῶν πολιτῶν κύριον εἶναι καὶ ἐπιτάττειν τοῖς παισὶν ὅ, τι [ἂν] ἀγαθὸν δοκοίη εἶναι, καὶ κολάζειν, εἴ τι ἁμαρτάνοιεν, τοῦτο δὲ ποιήσας διέπραξε καὶ αἰδημονεστέρους εἶναι τοὺς παῖδας· οὐδὲν γὰρ οὕτως αἰδοῦνται οὔτε παῖδες οὔτε ἄνδρες ὡς τοὺς ἄρχοντας. ὡς δὲ 11
καὶ εἴ ποτε μηδεὶς τύχοι ἀνὴρ παρών, μηδ' ὡς ἔρημοι οἱ παῖδες ἄρχοντος εἶεν, ἔθηκε τῆς ἴλης ἑκάστης τὸν τορώτατον τῶν εἰρένων ἄρχειν· ὥστε οὐδέποτε ἐκεῖ οἱ παῖδες ἔρημοι ἄρχοντός εἰσι.

Λεκτέον δέ μοι δοκεῖ εἶναι καὶ περὶ τῶν παιδικῶν 12
ἐρώτων· ἔστι γάρ τοι καὶ τοῦτο πρὸς παιδείαν. οἱ μὲν τοίνυν ἄλλοι Ἕλληνες ἢ ὥσπερ Βοιωτοὶ ἀνὴρ

1 κατασκοπὰς Herw. | 2 τὸν - λήψεσθαι del. P. | 3 δῆλον ὅτι del. Diels | 5 εἶποι - 6 ἐνόμιζε om. S. | 6 πολλὰς δὲ S. | 20 ἂν om. S. del. Saupp. | 26 εἰρένων Cragius [de rep. Lac. 2, 12]: ἀρρένων.

καὶ παῖς συζυγέντες ὁμιλοῦσιν, ἢ ὥσπερ Ἠλεῖοι διὰ χαρίτων τῇ ὥρᾳ χρῶνται· εἰσὶ δὲ καὶ οἳ παντάπασι τοῦ διαλέγεσθαι τοὺς ἐραστὰς εἴργουσιν ἀπὸ τῶν
13 παίδων. ὁ δὲ Λυκοῦργος ἐναντία καὶ τούτοις πᾶσι γνούς, εἰ μέν τις αὐτὸς ὢν οἷον δεῖ ἀγασθεὶς ψυχὴν παιδὸς πειρῷτο ἄμεμπτον φίλον ἀποτελέσασθαι καὶ συνεῖναι, ἐπῄνει καὶ καλλίστην παιδείαν ταύτην ἐνόμιζεν· εἰ δέ τις παιδὸς σώματος ὀρεγόμενος φανείη, αἴσχιστον τοῦτο θεὶς ἐποίησεν ἐν Λακεδαίμονι μηδὲν ἧττον ἐραστὰς παιδικῶν ἀπέχεσθαι ἢ γονεῖς παίδων ἢ καὶ ἀδελφοὶ ἀδελφῶν εἰς ἀφροδίσια ἀπέχονται.
14 τὸ μέντοι ταῦτα ἀπιστεῖσθαι ὑπό τινων οὐ θαυμάζω· ἐν πολλαῖς γὰρ τῶν πόλεων οἱ νόμοι οὐκ ἐναντιοῦνται ταῖς πρὸς τοὺς παῖδας ἐπιθυμίαις. ἡ μὲν δὴ παιδεία εἴρηται ἥ τε Λακωνικὴ καὶ ἡ τῶν ἄλλων Ἑλλήνων· ἐξ ὁποτέρας δ' αὐτῶν καὶ εὐπειθέστεροι καὶ αἰδημονέστεροι καὶ ὧν δεῖ ἐγκρατέστεροι ἄνδρες ἀποτελοῦνται, ὁ βουλόμενος καὶ ταῦτα ἐπισκοπείσθω.

III Ὅταν γε μὴν ἐκ παίδων εἰς τὸ μειρακιοῦσθαι ἐκβαίνωσι, τηνικαῦτα οἱ μὲν ἄλλοι παύουσι μὲν ἀπὸ παιδαγωγῶν, παύουσι δὲ ἀπὸ διδασκάλων, ἄρχουσι δὲ οὐδένες ἔτι αὐτῶν, ἀλλ' αὐτονόμους ἀφιᾶσιν· ὁ
2 δὲ Λυκοῦργος καὶ τούτων τἀναντία ἔγνω. καταμαθὼν γὰρ τοῖς τηλικούτοις μέγιστον μὲν φρόνημα ἐμφυόμενον, μάλιστα δὲ ὕβριν ἐπιπολάζουσαν, ἰσχυροτάτας δὲ ἐπιθυμίας τῶν ἡδονῶν παρισταμένας, τηνικαῦτα πλείστους μὲν πόνους αὐτοῖς ἐπέβαλε, πλεί-
3 στην δὲ ἀσχολίαν ἐμηχανήσατο. ἐπιθεὶς δὲ καὶ εἴ τις ταῦτα φύγοι, μηδενὸς ἔτι τῶν καλῶν τυγχάνειν, ἐποίησε μὴ μόνον τοὺς ἐκ δημοσίου ἀλλὰ καὶ τοὺς κηδομένους ἑκάστων ἐπιμελεῖσθαι, ὡς μὴ ἀποδειλιά-

19 [εἰς - μειρακ.] C.

σαντες ἀδόκιμοι παντάπασιν ἐν τῇ πόλει γένοιντο. πρὸς δὲ τούτοις τὸ αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βου- 4
λόμενος αὐτοῖς καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι, πε-
ριβλέπειν δὲ μηδαμοῖ, ἀλλ' αὐτὰ τὰ πρὸ τῶν ποδῶν ὁρᾶν. ἔνθα δὴ καὶ δῆλον γεγένηται, ὅτι τὸ ἄρρεν φῦλον καὶ εἰς τὸ σωφρονεῖν ἰσχυρότερόν ἐστι [τῶν] τῆς θηλείας φύσεως. ἐκείνων γοῦν ἧττον μὲν ἂν 5
φωνὴν ἀκούσαις ἢ τῶν λιθίνων, ἧττον δ' ἂν ὄμματα [μετα]στρέψαις ἢ τῶν χαλκῶν, αἰδημονεστέρους δ' ἂν αὐτοὺς ἡγήσαιο καὶ αὐτῶν τῶν ἐν τοῖς θαλάμοις παρθένων. καὶ ἐπειδὰν εἰς τὸ φιλίτιόν γε ἀφίκωνται, ἀγαπητὸν αὐτῶν καὶ τὸ ἐρωτηθὲν ἀκοῦσαι. καὶ τῶν μὲν αὖ παιδίσκων οὕτως ἐπεμελήθη.

Περί γε μὴν τῶν ἡβώντων πολὺ μάλιστα ἐσπού- IV
δασε, νομίζων τούτους, εἰ γένοιντο οἵους δεῖ, πλεῖστον ῥέπειν ἐπὶ τὸ ἀγαθὸν τῇ πόλει. ὁρῶν οὖν, οἷς 2
ἂν μάλιστα φιλονεικία ἐγγένηται, τούτων καὶ χοροὺς ἀξιακροατοτάτους γιγνομένους καὶ γυμνικοὺς ἀγῶνας ἀξιοθεατοτάτους, ἐνόμιζεν, εἰ καὶ τοὺς ἡβῶντας συμβάλλοι εἰς ἔριν περὶ ἀρετῆς, οὕτως ἂν καὶ τούτους ἐπὶ πλεῖστον ἀφικνεῖσθαι ἀνδραγαθίας. ὡς οὖν τούτους αὖ συνέβαλεν, ἐξηγήσομαι. αἱροῦνται τοίνυν 3
αὐτῶν οἱ ἔφοροι ἐκ τῶν ἀκμαζόντων τρεῖς ἄνδρας· οὗτοι δὲ ἱππαγρέται καλοῦνται. τούτων δ' ἕκαστος ἄνδρας ἑκατὸν καταλέγει, διασαφηνίζων, ὅτου ἕνεκα τοὺς μὲν προτιμᾷ, τοὺς δὲ ἀποδοκιμάζει. οἱ οὖν μὴ 4
τυγχάνοντες τῶν καλῶν πολεμοῦσι τοῖς τε ἀποστεί-

---

2 *ἐμφῦσαι* S. *ἐμφυσῶσαι* s. *ἐμφυσιῶσαι* libri | 4-5 *περιόπτειν* (*περιωπεῖν* Diels) S. | 7 *τῶν* del. Heindorf post *τῆς* (v. 8) habet S. | 8 *θηλειῶν* S. | *μὲν γοῦν* [Longin.] | 10 *στρέψαις* cum [Longin.] P. | 11.12 *θαλ.*] *ὀφθαλμοῖς* [Longin.] S. | 14 *παιδίσκων* Haas : *παιδικῶν* | 15 *ἤδη* add. post *τῶν* S.

λασιν αὐτοὺς καὶ τοῖς αἱρεθεῖσιν ἀνθ' αὑτῶν καὶ παραφυλάττουσιν ἀλλήλους, ἐάν τι παρὰ τὰ καλὰ νομιζόμενα ῥᾳδιουργῶσι.

5 Καὶ αὕτη δὴ γίγνεται [ἡ] θεοφιλεστάτη τε καὶ πολιτικωτάτη ἔρις, ἐν ᾗ ἀποδέδεικται μὲν ἃ δεῖ ποιεῖν 5 τὸν ἀγαθόν, χωρὶς δ' ἑκάτεροι ἀσκοῦσιν, ὅπως ἀεὶ κράτιστοι ἔσονται, ἐὰν δέ τι δέῃ, καθ' ἕνα ἀρήξουσι 6 τῇ πόλει παντὶ σθένει [ἄν]. ἀνάγκη δ' αὐτοῖς καὶ εὐεξίας ἐπιμελεῖσθαι. καὶ γὰρ πυκτεύουσι διὰ τὴν ἔριν ὅπου ἂν συμβάλωσι· διαλύειν μέντοι τοὺς μα- 10 χομένους πᾶς ὁ παραγενόμενος κύριος. ἢν δέ τις ἀπειθῇ τῷ διαλύοντι, ἄγει αὐτὸν ὁ παιδονόμος ἐπὶ τοὺς ἐφόρους· οἱ δὲ ζημιοῦσι μεγάλως, καθιστάναι βουλόμενοι [εἰς] τὸ μήποτε ὀργὴν τοῦ μὴ πείθεσθαι 7 τοῖς νόμοις κρατῆσαι. τοῖς τε μὴν τὴν ἡβητικὴν ἡλι- 15 κίαν πεπερακόσιν, ἐξ ὧν ἤδη καὶ αἱ μέγισται ἀρχαὶ καθίστανται, οἱ μὲν ἄλλοι Ἕλληνες ἀφελόντες αὐτῶν τὸ ἰσχύος ἔτι ἐπιμελεῖσθαι στρατεύεσθαι ὅμως αὐτοῖς ἐπιτάττουσιν, ὁ δὲ Λυκοῦργος τοῖς τηλικούτοις νόμιμον ἐποίησε κάλλιστον εἶναι τὸ θηρᾶν, εἰ μή τι 20 δημόσιον κωλύοι, ὅπως δύναιντο καὶ οὗτοι μηδὲν ἧττον τῶν ἡβώντων στρατιωτικοὺς πόνους ὑποφέρειν.

V Ἃ μὲν οὖν ἑκάστῃ ἡλικίᾳ ἐνομοθέτησεν ὁ Λυκοῦργος ἐπιτηδεύματα σχεδὸν εἴρηται· οἵαν δὲ καὶ πᾶσι 25 2 δίαιταν κατεσκεύασε, νῦν πειράσομαι διηγεῖσθαι. Λυκοῦργος τοίνυν παραλαβὼν τοὺς Σπαρτιάτας ὥσπερ τοὺς ἄλλους Ἕλληνας οἴκοι σκηνοῦντας, γνοὺς ἐν τούτοις πλεῖστα ῥᾳδιουργεῖσθαι, εἰς τὸ φανερὸν ἐξήγαγε

---

4 ἡ del. Hertl. | 8 ἄν del. Steph. | 11 *παραγιγνόμενος* S. | 13 *μεγαλείως* libri praet. M. | 14 εἰς del. Weisk. | τοῦ] τὸ Hermann | 21 *καὶ οὗτοι δύνωνται* S.

τὰ συσκήνια, οὕτως ἡγούμενος ἥκιστ' ἂν παραβαίνε-
σθαι τὰ προστατ τόμενα. καὶ σῖτόν γε ἔταξεν αὐτοῖς 3
ὡς μήτε ὑπερπληροῦσθαι μήτ' ἐνδεεῖς γίγνεσθαι.
πολλὰ δὲ καὶ παράλογα γίγνεται ἀπὸ τῶν ἀγρευομέ-
νων· οἱ δὲ πλούσιοι ἔστιν ὅτε καὶ ἄρτον ἀντιπαρα-
βάλλουσιν· ὥστε οὔτε ἔρημός ποτε ἡ τράπεζα βρω-
τῶν γίγνεται, ἔστ' ἂν διασκηνῶσιν, οὔτε πολυδάπανος.
καὶ μὴν τοῦ πότου ἀποπαύσας τὰς οὐκ ἀναγκαίας 4
πόσεις, αἳ σφάλλουσι μὲν σώματα, σφάλλουσι δὲ
γνώμας, ἐφῆκεν ὁπότε διψῴη ἕκαστος πίνειν, οὕτω
νομίζων ἀβλαβέστατόν τε καὶ ἥδιστον ποτὸν γίγνεσθαι.
οὕτω γε μὴν συσκηνούντων πῶς ἄν τις ἢ ὑπὸ λιχνεί-
ας ἢ οἰνοφλυγίας ἢ αὐτὸν ἢ οἶκον διαφθείρειε;
καὶ γὰρ δὴ ἐν μὲν ταῖς ἄλλαις πόλεσιν ὡς τὸ πολὺ 5
οἱ ἥλικες ἀλλήλοις σύνεισι, μεθ' ὧνπερ καὶ ἐλαχίστη
αἰδὼς παραγίγνεται· ὁ δὲ Λυκοῦργος ἐν τῇ Σπάρτῃ
ἀπέδειξε παιδεύεσθαι τὰ πολλὰ τοὺς νεωτέρους ὑπὸ
τῆς τῶν γεραιτέρων ἐμπειρίας. καὶ γὰρ δὴ ἐπιχώριον 6
ἐν τοῖς φιλιτίοις λέγεσθαι ὅ, τι ἂν καλῶς τις ἐν τῇ
πόλει ποιήσῃ· ὥστ' ἐκεῖ ἥκιστα μὲν ὕβριν, ἥκιστα δὲ
παροινίαν, ἥκιστα δὲ αἰσχρουργίαν καὶ αἰσχρολογίαν
ἐγγίγνεσθαι. ἀγαθά γε μὴν ἀπεργάζεται καὶ τάδε ἡ 7
ἔξω σίτησις· περιπατεῖν τε γὰρ ἀναγκάζονται ἐν τῇ
οἴκαδε ἀφόδῳ, καὶ μὴν τὸ ὑπὸ οἴνου μὴ σφάλλεσθαι
ἐπιμελεῖσθαι, εἰδότες ὅτι οὐκ ἔνθαπερ ἐδείπνουν κα-
ταμενοῦσι, καὶ τῇ ὄρφνῃ ὅσα ἡμέρᾳ χρηστέον· οὐδὲ
γὰρ ὑπὸ φανοῦ τὸν ἔτι ἔμφρουρον ἔξεστι πορεύ-
εσθαι.

Καταμαθών γε μὴν ὁ Λυκοῦργος καὶ ὅτι ἀπὸ τῶν 8

2 *γε* Steph. *δὲ* Heindorf : *τε* | 5 *ἄρτον* Canterus [Nov. Lect. 3, 7 ex Athenaeo] : *ἀργὸν* | 17 *ἀπέδειξε* P. : *ἀνέμιξε* | 24 [*μὴν*] Schneid.

αὐτῶν σίτων οἱ μὲν διαπονούμενοι εὔχροί τε καὶ εὔσαρκοι καὶ εὔρωστοί εἰσιν, οἱ δ' ἄπονοι πεφυσημένοι τε καὶ αἰσχροὶ καὶ ἀσθενεῖς ἀναφαίνονται, οὐδὲ τούτου ἠμέλησεν, ἀλλ' ἐννοῶν ὅτι καὶ ὅταν [αὐτός] τις τῇ ἑαυτοῦ γνώμῃ φιλοπονῇ, ἀρκούντως τὸ σῶμα ἔχων ἀναφαίνεται, ἐπέταξε τὸν ἀεὶ πρεσβύτατον ἐν τῷ γυμνασίῳ ἑκάστῳ ἐπιμελεῖσθαι ὡς μήποτε αὐτοὶ 9 ἐλάττους τῶν σιτίων γίγνεσθαι. καὶ ἐμοὶ μὲν οὐδ' ἐν τούτῳ σφαλῆναι δοκεῖ. οὐκ ἂν οὖν ῥᾳδίως γέ τις εὕροι Σπαρτιατῶν οὔτε ὑγιεινοτέρους οὔτε τοῖς σώμασι χρησιμωτέρους· ὁμοίως γὰρ ἀπό τε τῶν σκελῶν καὶ ἀπὸ χειρῶν καὶ ἀπὸ τραχήλου γυμνάζονται.

VI Ἐναντία γε μὴν ἔγνω καὶ τάδε τοῖς πλείστοις. ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσι τῶν ἑαυτοῦ ἕκαστος καὶ παίδων καὶ οἰκετῶν καὶ χρημάτων ἄρχουσιν· ὁ δὲ Λυκοῦργος, κατασκευάσαι βουλόμενος ὡς ἂν μηδὲν βλάπτοντες ἀπολαύοιέν τι οἱ πολῖται ἀλλήλων ἀγαθόν, ἐποίησε παίδων ἕκαστον ὁμοίως τῶν ἑαυτοῦ καὶ τῶν 2 ἀλλοτρίων ἄρχειν. ὅταν δέ τις εἰδῇ ὅτι οὗτοι* πατέρες εἰσὶ τῶν παίδων ὧν αὐτὸς ἄρχει, ἀνάγκη οὕτως ἄρχειν ὥσπερ ἂν καὶ τῶν ἑαυτοῦ ἄρχεσθαι βούλοιτο. ἢν δέ τις παῖς ποτε πληγὰς λαβὼν ὑπ' ἄλλου κατείπῃ πρὸς τὸν πατέρα, αἰσχρόν ἐστι μὴ οὐκ ἄλλας πληγὰς ἐμβάλλειν τῷ υἱεῖ. οὕτω πιστεύουσιν ἀλλή- 3 λους μηδὲν αἰσχρὸν προστάττειν τοῖς παισίν. ἐποίησε δὲ καὶ οἰκέταις, εἴ τις δεηθείη, χρῆσθαι καὶ τοῖς ἀλλοτρίοις. καὶ κυνῶν δὲ θηρευτικῶν συνῆψε κοινωνίαν· ὥστε οἱ μὲν δεόμενοι παρακαλοῦσιν ἐπὶ θήραν,

1 *αὐτῶν* add. Dobraeus | *εὔχροι* C. : *εὔχροοι* | 4 *αὐτὸς* del. P. | 5 *ἀρκοῦν* Dind. *οὐκ ἀρκούντως* K. Schenkl *ἀρκούντως οὐ καλῶς* P. Verres | 7 [*αὐτοί*] Saupp. *αὐτοῖς* s. *αὐτοὺς* Haas | 8 *ἐλάττω* s. *ἔλαττον* Haas | 19 *οὗτοι κύριοι* P.

ὁ δὲ μὴ αὐτὸς σχολάζων ἡδέως ἐκπέμπει. καὶ ἵπποις δὲ ὡσαύτως χρῶνται· ὁ γὰρ ἀσθενήσας ἢ δεηθεὶς ὀχήματος ἢ ταχύ ποι βουληθεὶς ἀφικέσθαι, ἥν που ἴδῃ ἵππον ὄντα, λαβὼν καὶ χρησάμενος καλῶς ἀποκαθίστησιν. οὐ μὴν οὐδ' ἐκεῖνό γε παρὰ τοῖς ἄλλοις 4
εἰθισμένον ἐποίησεν ἐπιτηδεύεσθαι. ὅπου γὰρ ἂν ὑπὸ θήρας ὀψισθέντες δεηθῶσι τῶν ἐπιτηδείων, ἢν μὴ συνεσκευασμένοι τύχωσι, καὶ ἐνταῦθα ἔθηκε τοὺς μὲν πεπαμένους καταλείπειν τὰ πεποιημένα, τοὺς δὲ δεομένους ἀνοίξαντας τὰ σήμαντρα, λαβόντας ὅσων ἂν δέωνται σημηναμένους καταλιπεῖν. τοιγαροῦν οὕτω μεταδιδόντες ἀλλήλοις καὶ οἱ τὰ μικρὰ ἔχοντες μετέχουσι πάντων τῶν ἐν τῇ χώρᾳ, ὁπόταν τινὸς δεηθῶσιν.

Ἐναντία γε μὴν καὶ τάδε τοῖς ἄλλοις Ἕλλησι κα- VII
τέστησεν ὁ Λυκοῦργος ἐν τῇ Σπάρτῃ νόμιμα. ἐν μὲν γὰρ δήπου ταῖς ἄλλαις πόλεσι πάντες χρηματίζονται ὅσον δύνανται· ὁ μὲν γὰρ γεωργεῖ, ὁ δὲ ναυκληρεῖ, ὁ δ' ἐμπορεύεται, οἱ δὲ καὶ ἀπὸ τεχνῶν τρέφονται· ἐν δὲ τῇ Σπάρτῃ ὁ Λυκοῦργος τοῖς [μὲν] ἐλευθέροις 2
τῶν μὲν ἀμφὶ χρηματισμὸν ἀπεῖπε μηδενὸς ἅπτεσθαι, ὅσα δὲ ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἔταξε μόνα ἔργα αὐτῶν νομίζειν. καὶ γὰρ δὴ 3
τί πλοῦτος ἐκεῖ γε σπουδαστέος, ἔνθα ἴσα μὲν φέρειν εἰς τἀπιτήδεια, ὁμοίως δὲ διαιτᾶσθαι τάξας, ἐποίησε μὴ ἡδυπαθείας ἕνεκα χρημάτων ὀρέγεσθαι; ἀλλὰ μὴν οὐδ' ἱματίων γε ἕνεκα χρηματιστέον· οὐ γὰρ ἐσθῆτος πολυτελείᾳ ἀλλὰ σώματος εὐεξίᾳ κοσμοῦνται. οὐδὲ μὴν τοῦ γε εἰς τοὺς συσκήνους ἕνεκα ἔχειν 4

---

2 ἢ ante *δεηθ.* del. Köhler | 3 *ποι* Heindorf : *που* | 5 *γε* Weisk. : *τὸ* | 9 *κατακλῄειν* Herw. | *περιπεποιημένα* K. Schenkl | 20 *μὲν* om. S. del. Dind. | 23 *καὶ* - 24 *τί*] *οὐ* - *δή τι* S. | 24 *ἐσπούδασται* S.

δαπανᾶν χρήματα ἀθροιστέον, ἐπεὶ τὸ τῷ σώματι πονοῦντα ὠφελεῖν τοὺς συνόντας εὐδοξότερον ἐποίησεν ἢ τὸ δαπανῶντας, ἐπιδείξας τὸ μὲν ψυχῆς, τὸ δὲ πλούτου ἔργον. τό γε μὴν ἐξ ἀδίκων χρηματίζεσθαι καὶ ἐν τοῖς τοιούτοις διεκώλυσε. πρῶτον μὲν γὰρ νόμισμα τοιοῦτον κατεστήσατο, ὃ δέκα μνῶν μόνον ἂν εἰς οἰκίαν εἰσελθὸν οὔτε δεσπότας οὔτε οἰκέτας λάθοι· καὶ γὰρ χώρας μεγάλης καὶ ἁμάξης ἀγωγῆς δέοιτ' ἄν. χρυσίον γε μὴν καὶ ἀργύριον ἐρευνᾶται, καὶ ἄν τί που φανῇ, ὃ ἔχων ζημιοῦται. τί οὖν ἂν ἐκεῖ χρηματισμὸς σπουδάζοιτο, ἔνθα ἡ κτῆσις πλείους λύπας ἢ ἡ χρῆσις εὐφροσύνας παρέχει;

VIII Ἀλλὰ γὰρ ὅτι μὲν ἐν Σπάρτῃ μάλιστα πείθονται ταῖς ἀρχαῖς τε καὶ τοῖς νόμοις, ἴσμεν ἅπαντες. ἐγὼ μέντοι οὐδ' ἐγχειρῆσαι οἶμαι πρότερον τὸν Λυκοῦργον ταύτην τὴν εὐταξίαν καθιστάναι πρὶν ὁμογνώμονας ἐποιήσατο τοὺς κρατίστους τῶν ἐν τῇ πόλει. τεκμαίρομαι δὲ ταῦτα, ὅτι ἐν μὲν ταῖς ἄλλαις πόλεσιν οἱ δυνατώτεροι οὐδὲ βούλονται δοκεῖν τὰς ἀρχὰς φοβεῖσθαι, ἀλλὰ νομίζουσι τοῦτο ἀνελεύθερον εἶναι· ἐν δὲ τῇ Σπάρτῃ οἱ κράτιστοι καὶ ὑπέρχονται μάλιστα τὰς ἀρχὰς καὶ τῷ ταπεινοὶ εἶναι μεγαλύνονται, καὶ τῷ ὅταν καλῶνται τρέχοντες ἀλλὰ μὴ βαδίζοντες ὑπακούειν, νομίζοντες, ἣν αὐτοὶ κατάρχωσι τοῦ σφόδρα πείθεσθαι, ἕψεσθαι καὶ τοὺς ἄλλους· ὅπερ δὴ γεγένηται. εἰκὸς δὲ καὶ τὴν τῆς ἐφορείας δύναμιν τοὺς αὐτοὺς τούτους συγκατασκευάσαι, ἐπείπερ ἔγνωσαν τὸ πείθεσθαι μέγιστον ἀγαθὸν εἶναι καὶ ἐν πόλει καὶ ἐν στρατιᾷ καὶ ἐν οἴκῳ· ὅσῳ γὰρ μείζω δύναμιν

3 δαπανῶντα Morus | 6 δεκάμνων Dind. | ὃν ἄν Heindorf | 9 ἀγούσης Dind. | 16 εὐταξίαν, cum M., Dind. εὐεξίαν s. εὐδοξίαν cett. | 25 δὴ P.: καὶ | γίγνεται Wulff | 29 ἐπ' οἴκῳ S.

ἔχει ἡ ἀρχή, τοσούτῳ μᾶλλον [ἂν] ἡγήσαντο αὐτὴν καὶ καταπλήξειν τοὺς πολίτας τοῦ ὑπακούειν. ἔφοροι 4 οὖν ἱκανοὶ μέν εἰσι ζημιοῦν ὃν ἂν βούλωνται, κύριοι δ' ἐκπράττειν παραχρῆμα, κύριοι δὲ καὶ ἄρχοντας μεταξὺ [καὶ] καταπαῦσαι καὶ εἴρξαί γε καὶ περὶ τῆς ψυχῆς εἰς ἀγῶνα καταστῆσαι. τοσαύτην δὲ ἔχοντας δύναμιν, οὐχ ὥσπερ αἱ ἄλλαι πόλεις ἐῶσι τοὺς αἱρεθέντας διάρχειν τὸ ἔτος ὅπως ἂν βούλωνται, ἀλλ' ὥσπερ οἱ τύραννοι καὶ οἱ ἐν τοῖς γυμνικοῖς ἀγῶσιν ἐπιστάται, ἤν τινα αἰσθάνωνται παρανομοῦντά τι, εὐθὺς παραχρῆμα κολάζουσι. πολλῶν δὲ καὶ ἄλλων 5 ὄντων μηχανημάτων καλῶν τῷ Λυκούργῳ εἰς τὸ πείθεσθαι τοῖς νόμοις ἐθέλειν τοὺς πολίτας, ἐν τοῖς καλλίστοις καὶ τοῦτό μοι δοκεῖ εἶναι ὅτι οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ οἷς αὐτὸς ἔθηκε νόμοις. ἐπεὶ δ' ἀνεῖλε τῷ παντὶ ἄμεινον εἶναι, τότε ἀπέδωκεν, οὐ μόνον ἄνομον ἀλλὰ καὶ ἀνόσιον θεὶς τὸ πυθοχρήστοις νόμοις μὴ πείθεσθαι.

Ἄξιον δὲ τοῦ Λυκούργου καὶ τόδε ἀγασθῆναι, IX τὸ κατεργάσασθαι ἐν τῇ πόλει αἱρετώτερον εἶναι τὸν καλὸν θάνατον ἀντὶ τοῦ αἰσχροῦ βίου· καὶ γὰρ δὴ ἐπισκοπῶν τις ἂν εὕροι μείους ἀποθνῄσκοντας τούτων ἢ τῶν ἐκ τοῦ φοβεροῦ ἀποχωρεῖν αἱρουμένων. ὡς τἀληθὲς εἰπεῖν καὶ ἔπεται τῇ ἀρετῇ σῴζεσθαι 2

1 ἂν del. Schneid. | 2 τοῦ] εἰς τὸ C. | 3 ἱκ.] δυνατοὶ S. κύριοι C. | 5 καὶ om. S. del. Dind. | 6 ἔχοντας Morus : ἔχοντες | 8 διάρχειν C. : ἀεὶ ἄρχειν | 19 ἀλλὰ - 20 θεὶς] δείξας ἀλλὰ καὶ ἀνόσιον S. | 23 κατεργάζεσθαι S. | 25.26 τούτων τῶν] τῶν τούτων Wulff | 26 ἢ add. Heindorf | 27 ὡς τἀλ. Dind. : ὥστ' (ὥστε) ἀληθ. | τὸ σῴζ. Morus.

εἰς τὸν πλείω χρόνον μᾶλλον ἢ τῇ κακίᾳ· καὶ γὰρ ῥᾴων καὶ ἡδίων καὶ εὐπορωτέρα καὶ ἰσχυροτέρα. δῆλον δὲ ὅτι καὶ εὔκλεια μάλιστα ἕπεται τῇ ἀρετῇ· καὶ γὰρ συμμαχεῖν πως πάντες τοῖς ἀγαθοῖς βού-
3 λονται. ἦ μέντοι ὥστε ταῦτα γίγνεσθαι ἐμηχανήσατο, καὶ τοῦτο καλὸν μὴ παραλιπεῖν. ἐκεῖνος τοίνυν σαφῶς παρεσκεύασε τοῖς μὲν ἀγαθοῖς εὐδαιμονίαν, τοῖς
4 δὲ κακοῖς κακοδαιμονίαν. ἐν μὲν γὰρ ταῖς ἄλλαις πόλεσιν, ὁπόταν τις κακὸς γένηται, ἐπίκλησιν μόνον ἔχει κακὸς εἶναι, ἀγοράζει δὲ ἐν τῷ αὐτῷ ὁ κακὸς τἀγαθῷ καὶ κάθηται καὶ γυμνάζεται, ἐὰν βούληται· ἐν δὲ τῇ Λακεδαίμονι πᾶς μὲν ἄν τις αἰσχυνθείη τὸν κακὸν σύσκηνον παραλαβεῖν, πᾶς δ' ἂν ἐν πα-
5 λαίσματι συγγυμναστήν. πολλάκις δὲ ὁ τοιοῦτος καὶ διαιρουμένων τοὺς ἀντισφαιριοῦντας ἀχώριστος περιγίγνεται καὶ ἐν χοροῖς δ' εἰς τὰς ἐπονειδίστους χώρας ἀπελαύνεται, καὶ μὴν ἐν ὁδοῖς παραχωρητέον αὐτῷ καὶ ἐν θάκοις καὶ [ἐν] τοῖς νεωτέροις ὑπαναστατέον, καὶ τὰς μὲν προσηκούσας κόρας οἶκοι θρεπτέον, καὶ ταύταις τῆς ἀνανδρίας αἰτίαν ὑφεκτέον, γυναικὸς δὲ κενὴν ἑστίαν [οὐ] περιοπτέον καὶ ἅμα τούτου ζημίαν ἀποτιστέον, λιπαρὸν δὲ οὐ πλανητέον οὐδὲ μιμητέον τοὺς ἀνεγκλήτους, ἢ πληγὰς ὑπὸ τῶν ἀμεινόνων
6 ληπτέον. ἐγὼ μὲν δὴ τοιαύτης τοῖς κακοῖς ἀτιμίας ἐπικειμένης οὐδὲν θαυμάζω τὸ προαιρεῖσθαι ἐκεῖ θάνατον ἀντὶ τοῦ οὕτως ἀτίμου τε καὶ ἐπονειδίστου βίου.

X Καλῶς δέ μοι δοκεῖ ὁ Λυκοῦργος νομοθετῆσαι καὶ ᾗ μέχρι γήρως ἀσκοῖτ' ἄν ἀρετή. ἐπὶ γὰρ τῷ τέρματι τοῦ βίου τὴν κρίσιν τῆς γεροντίας προσθεὶς

13.14 *παλαίσμασι* Steph. | 15 *δι' αἱρουμένων* Zeune | 18 *ἐν* del. Steph. | 21 *οὐ* del. Dind. | 22 *λιπαρῶς* Morus | 29 *ἡ ἀρετὴ* S.

ἐποίησε μηδὲ ἐν τῷ γήρᾳ ἀμελεῖσθαι τὴν καλοκἀγαθίαν. ἀξιάγαστον δ' αὐτοῦ καὶ τὸ ἐπικουρῆσαι τῷ 2
τῶν ἀγαθῶν γήρᾳ· θεὶς γὰρ τοὺς γέροντας κυρίους
τοῦ περὶ τῆς ψυχῆς ἀγῶνος διέπραξεν ἐντιμότερον
εἶναι τὸ γῆρας τῆς τῶν ἀκμαζόντων ῥώμης. εἰκότως 3
δέ τοι καὶ σπουδάζεται οὗτος ὁ ἀγὼν μάλιστα τῶν
ἀνθρωπίνων. καλοὶ μὲν γὰρ καὶ οἱ γυμνικοί· ἀλλ'
οὗτοι μὲν σωμάτων [εἰσίν]· ὁ δὲ περὶ τῆς γεροντίας
ἀγὼν ψυχῶν ἀγαθῶν κρίσιν παρέχει. ὅσῳ οὖν κρείτ-
των ψυχὴ σώματος, τοσούτῳ καὶ οἱ ἀγῶνες οἱ τῶν
σωμάτων ἀξιοσπουδαστότεροι.

Τόδε γε μὴν τοῦ Λυκούργου πῶς οὐ μεγάλως 4
ἄξιον ἀγασθῆναι; ὃς ἐπειδὴ κατέμαθεν ὅτι οἱ οἴκοι
βουλόμενοι ἐπιμελεῖσθαι τῆς ἀρετῆς οὐχ ἱκανοί εἰσι
τὰς πατρίδας αὔξειν, [ἐκεῖνος] ἐν τῇ Σπάρτῃ ἠνάγκασε
δημοσίᾳ πάντας πάσας ἀσκεῖν τὰς ἀρετάς. ὥσπερ οὖν
οἱ ἰδιῶται τῶν ἰδιωτῶν διαφέρουσιν ἀρετῇ, οἱ ἀσκοῦν-
τες τῶν ἀμελούντων, οὕτω καὶ ἡ Σπάρτη εἰκότως
πασῶν τῶν πόλεων ἀρετῇ διαφέρει, μόνη δημοσίᾳ 5
ἐπιτηδεύουσα τὴν καλοκἀγαθίαν. οὐ γὰρ κἀκεῖνο
καλόν, τὸ τῶν ἄλλων πόλεων κολαζουσῶν, ἤν τίς τι
ἕτερος ἕτερον ἀδικῇ, ἐκεῖνον ζημίας μὴ ἐλάττους
ἐπιθεῖναι, εἴ τις φανερὸς εἴη ἀμελῶν τοῦ ὡς βέλτι-
στος εἶναι; ἐνόμιζε γάρ, ὡς ἔοικεν, ὑπὸ μὲν τῶν 6
ἀνδραποδιζομένων τινὰς ἢ ἀποστερούντων τι ἢ
κλεπτόντων τοὺς βλαπτομένους μόνον ἀδικεῖσθαι,
ὑπὸ δὲ τῶν κακῶν καὶ ἀνάνδρων ὅλας τὰς πόλεις
προδίδοσθαι. ὥστε εἰκότως ἔμοιγε δοκεῖ τούτοις με- 7

6.7 *μάλιστ' ἀνθρώπων* Schaefer *μάλ. πάντων ἀνθρώπων* Hense | 7 *ἀνθρωπίνων* S., *ἀνθρώπων* libri | 8 *εἰσὶν* om. S. del. P. | 13 *οἱ οἴκοι* P. : *ὅπου οἱ* | 15 *ἐκεῖνος* del. P. | 17.18 [*οἱ - ἀμελ.*] Weisk.

γίστας ζημίας ἐπιθεῖναι. ἐπέθηκε δὲ καὶ τὴν ἀνυπόστατον ἀνάγκην ἀσκεῖν ἅπασαν πολιτικὴν ἀρετήν. τοῖς μὲν γὰρ τὰ νόμιμα ἐκτελοῦσιν ὁμοίως ἅπασι τὴν πόλιν οἰκείαν ἐποίησε, καὶ οὐδὲν ὑπελογίσατο οὔτε σωμάτων οὔτε χρημάτων ἀσθένειαν· εἰ δέ τις ἀποδειλιάσειε τοῦ τὰ νόμιμα διαπονεῖσθαι, τοῦτον ἐκεῖνος ἀπέδειξε μηδὲ νομίζεσθαι ἔτι τῶν ὁμοίων
8 εἶναι. ἀλλὰ γὰρ ὅτι μὲν παλαίτατοι οὗτοι οἱ νόμοι εἰσί, σαφές· ὁ γὰρ Λυκοῦργος κατὰ τοὺς Ἡρακλείδας λέγεται γενέσθαι· οὕτω δὲ παλαιοὶ ὄντες ἔτι καὶ νῦν τοῖς ἄλλοις καινότατοί εἰσι· καὶ γὰρ τὸ πάντων θαυμαστότατον ἐπαινοῦσι μὲν πάντες τὰ τοιαῦτα ἐπιτηδεύματα, μιμεῖσθαι δὲ αὐτὰ οὐδεμία πόλις ἐθέλει.

XI Καὶ ταῦτα μὲν δὴ κοινὰ ἀγαθὰ καὶ ἐν εἰρήνῃ καὶ ἐν πολέμῳ· εἰ δέ τις βούλεται καταμαθεῖν, ὅ, τι καὶ εἰς τὰς στρατείας βέλτιον τῶν ἄλλων ἐμηχανήσατο,
2 ἔξεστι καὶ τούτων ἀκούειν. πρῶτον μὲν τοίνυν οἱ ἔφοροι προκηρύττουσι τὰ ἔτη, εἰς ἃ δεῖ στρατεύεσθαι καὶ ἱππεῦσι καὶ ὁπλίταις, ἔπειτα δὲ καὶ τοῖς χειροτέχναις· ὥστε ὅσοισπερ ἐπὶ πόλεως χρῶνται ἄνθρωποι, πάντων τούτων καὶ ἐπὶ στρατιᾶς οἱ Λακεδαιμόνιοι εὐποροῦσι· καὶ ὅσων δὲ ὀργάνων ἡ στρατιὰ κοινῇ δεηθείη ἄν, ἅπαντα τὰ μὲν ἁμάξῃ προστέτακται παρέχειν, τὰ δὲ ὑποζυγίῳ· οὕτω γὰρ ἥδιστ'
3 ἂν τὸ ἐκλεῖπον διαλάθοι. εἴς γε μὴν τὸν ἐν τοῖς ὅπλοις ἀγῶνα τοιάδ' ἐμηχανήσατο, στολὴν μὲν ἔχειν φοινικίδα καὶ χαλκῆν ἀσπίδα, [ταύτην νομίζων ἥκιστα μὲν γυναικείᾳ κοινωνεῖν, πολεμικωτάτην δ' εἶναι· καὶ γὰρ τάχιστα λαμπρύνεται καὶ σχολαίτατα ῥυπαίνεται].

---

7 ἐκεῖνος Iacobs [Add. 302]: ἐκεῖ | μηδὲ Zeune: μήτε | 22 ὅσων Dind.: ὅσα | 23 ἅπαντα Dind.: ἁπάντων | 25 ἐλλεῖπον Schneid. | τοῖς om. S. | 27 ταύτην - 29 ῥυπαίνεται del. P.

ἐφῆκε δὲ καὶ κομᾶν τοῖς ὑπὲρ τὴν ἡβητικὴν ἡλικίαν, νομίζων οὕτω καὶ μείζους ἂν καὶ ἐλευθεριωτέρους καὶ γοργοτέρους φαίνεσθαι. οὕτω γε μὴν κατε- 4
σκευασμένων μόρας μὲν διεῖλεν ἓξ καὶ ἱππέων καὶ
5 ὁπλιτῶν. ἑκάστη δὲ τῶν πολιτικῶν μορῶν ἔχει πολέμαρχον ἕνα, λοχαγοὺς τέτταρας, πεντηκοντῆρας ὀκτώ, ἐνωμοτάρχας ἑκκαίδεκα. ἐκ δὲ τούτων τῶν μορῶν διὰ παρεγγυήσεως καθίστανται [τοτὲ μὲν] εἰς ἐνωμοτίας, τοτὲ μὲν εἰς τρεῖς, τοτὲ δὲ εἰς ἕξ. ὃ δὲ οἱ πλεῖστοι 5
10 οἴονται, πολυπλοκωτάτην εἶναι τὴν ἐν ὅπλοις Λακωνικὴν τάξιν, τὸ ἐναντιώτατον ὑπειλήφασι τοῦ ὄντος· εἰσὶ μὲν γὰρ ἐν τῇ Λακωνικῇ τάξει οἱ πρωτοστάται ἄρχοντες, καὶ ὁ στίχος ἕκαστος πάντ' ἔχων ὅσα δεῖ παρέχεσθαι. οὕτω δὲ ῥᾴδιον ταύτην τὴν τάξιν μαθεῖν, 6
15 ὡς ὅστις τοὺς ἀνθρώπους δύναται γιγνώσκειν, οὐδεὶς ἂν ἁμάρτοι· τοῖς μὲν γὰρ ἡγεῖσθαι δέδοται, τοῖς δὲ ἕπεσθαι τέτακται. αἱ δὲ παραγωγαὶ ὥσπερ ὑπὸ κήρυκος ὑπὸ τοῦ ἐνωμοτάρχου λόγῳ δηλοῦνται, αἷς ἀραιαί τε καὶ βαθύτεραι αἱ φάλαγγες γίγνονται· ὧν
20 δὴ οὐδ' ὅπως τι οὖν χαλεπὸν μαθεῖν. τὸ μέντοι κἂν 7
ταραχθῶσι μετὰ τοῦ παρατυχόντος ὁμοίως μάχεσθαι, ταύτην τὴν τάξιν οὐκέτι ῥᾴδιόν ἐστι μαθεῖν πλὴν τοῖς ὑπὸ τῶν τοῦ Λυκούργου νόμων πεπαιδευμένοις. 8
εὐπορώτατα δὲ καὶ ἐκεῖνα Λακεδαιμόνιοι ποιοῦσι τὰ
25 τοῖς ὁπλομάχοις πάνυ δοκοῦντα χαλεπὰ εἶναι· ὅταν μὲν γὰρ ἐπὶ κέρως πορεύωνται, κατ' οὐρὰν δήπου ἐνωμοτία ἐνωμοτίᾳ ἕπεται· ἐὰν δ' ἐν τῷ τοιούτῳ ἐκ τοῦ ἐναντίου πολεμία φάλαγξ ἐπιφανῇ, τῷ ἐνωμοτάρχῃ παρεγγυᾶται εἰς μέτωπον παρ' ἀσπίδα

---

4 *μὲν διεῖλεν*] *ἔδειξεν* S. | 8 *τοτὲ μὲν* del. P. | 9 *μὲν* P.: *δὲ* | 13 *πάντ' ἔχων*] *ἀνύτων* P. | 18 *αἷς* add. Schneid. | 22 [*ταύτην* - *τάξιν*] Herw. | 27 *ἐνωμοτίᾳ* add. Dobraeus.

καθίστασθαι, καὶ διὰ παντὸς οὕτως, ἔστ' ἂν ἡ φάλαγξ ἐναντία καταστῇ. ἢν γε μὴν οὕτως ἐχόντων ἐκ τοῦ ὄπισθεν οἱ πολέμιοι ἐπιφανῶσιν, ἐξελίττεται ἕκαστος ὁ στίχος, ἵνα οἱ κράτιστοι ἐναντίοι ἀεὶ τοῖς πολε-
9 μίοις ὦσιν. ὅτι δὲ ὁ ἄρχων εὐώνυμος γίγνεται, οὐδ' ἐν τούτῳ μειονεκτεῖν ἡγοῦνται, ἀλλ' ἔστιν ὅτε καὶ πλεονεκτεῖν. εἰ γάρ τινες κυκλοῦσθαι ἐπιχειροῖεν, οὐκ ἂν κατὰ τὰ γυμνά, ἀλλὰ κατὰ τὰ ὡπλισμένα περιβάλλοιεν ἄν. ἢν δέ ποτε ἕνεκά τινος δοκῇ συμφέρειν τὸν ἡγεμόνα δεξιὸν κέρας ἔχειν, στρέψαντες τὸ ἄγημα
10 ἐπὶ κέρας ἐξελίττουσι τὴν φάλαγγα, ἔστ' ἂν ὁ μὲν ἡγεμὼν δεξιὸς ᾖ, ἡ δὲ οὐρὰ εὐώνυμος γένηται. ἢν δ' αὖ ἐκ τῶν δεξιῶν πολεμίων τάξις ἐπιφαίνηται ἐπὶ κέρως πορευομένων, οὐδὲν ἄλλο πραγματεύονται ἢ τὸν λόχον ἕκαστον ὥσπερ τριήρη ἀντίπρῳρον τοῖς ἐναντίοις στρέφουσι, καὶ οὕτως αὖ γίγνεται ὁ κατ' οὐρὰν λόχος παρὰ δόρυ. ἢν γε μὴν κατὰ τὰ εὐώνυμα πολέμιοι προσίωσιν, οὐδὲ τοῦτ' ἐῶσιν, ἀλλ' ἀπωθοῦσιν ἢ ἐναντίους τοῖς ἀντιπάλοις τοὺς λόχους στρέφουσι· καὶ οὕτως αὖ ὁ κατ' οὐρὰν λόχος παρ' ἀσπίδα καθίσταται.

XII Ἐρῶ δὲ καὶ ᾗ στρατοπεδεύεσθαι ἐνόμισε χρῆναι Λυκοῦργος. διὰ μὲν γὰρ τὸ τὰς γωνίας τοῦ τετραγώνου ἀχρήστους εἶναι εἰς κύκλον ἐστρατοπεδεύσατο, εἰ μὴ ὄρος ἀσφαλὲς εἴη ἢ τεῖχος ἢ ποταμὸν ὄπισθεν
2 ἔχοιεν. φυλακάς γε μὴν ἐποίησε μεθημερινὰς τὰς μὲν παρὰ τὰ ὅπλα ἔσω βλεπούσας· οὐ γὰρ πολεμίων ἕνεκα ἀλλὰ φίλων αὗται καθίστανται· τούς γε μὴν πολεμίους ἵππῃς φυλάττουσιν ἀπὸ χωρίων ὧν ἂν ἐκ
3 πλείστου προορῷεν. εἰ δέ τις προΐοι νύκτωρ ἔξω τῆς

---

10 τὸ δεξιὸν Schneid. | 17 παρὰ] ἐπὶ Herw. | 24 εἰς add. nescio quis | 30 προορῷεν εἴ τις προσίοι. νύκτωρ δὲ W. Bahrdt.

φάλαγγος, ἐνόμισεν ὑπὸ Σκιριτῶν προφυλάττεσθαι· νῦν δ' ἤδη καὶ ὑπὸ ξένων αὐτῶν οἵτινες συμπαρόντες. τὸ δὲ ἔχοντας τὰ δόρατα ἀεὶ περιέναι, εὖ 4 καὶ τοῦτο δεῖ εἰδέναι ὅτι τοῦ αὐτοῦ ἕνεκά ἐστιν οὖπερ καὶ τοὺς δούλους εἴργουσιν ἀπὸ τῶν ὅπλων, καὶ τοὺς ἐπὶ τἀναγκαῖα ἀπιόντας οὐ δεῖ θαυμάζειν ὅτι οὔτε ἀλλήλων οὔτε τῶν ὅπλων πλέον ἢ ὅσον μὴ λυπεῖν ἀλλήλους ἀπέρχονται· καὶ γὰρ ταῦτα ἀσφαλείας ἕνεκα ποιοῦσι. μεταστρατοπεδεύονταί γε μὴν πυκνὰ 5 καὶ τοῦ σίνεσθαι τοὺς πολεμίους ἕνεκα καὶ τοῦ ὠφελεῖν τοὺς φίλους. καὶ γυμνάζεσθαι δὲ προαγορεύεται ὑπὸ τοῦ νόμου ἅπασι Λακεδαιμονίοις, ἕωσπερ ἂν στρατεύωνται· ὥστε μεγαλοπρεπεστέρους μὲν αὐτοὺς ἐφ' ἑαυτοῖς γίγνεσθαι, ἐλευθεριωτέρους δὲ τῶν ἄλλων φαίνεσθαι. δεῖ δὲ οὔτε περίπατον οὔτε δρόμον μάσσω ποιεῖσθαι ἢ ὅσον ἂν ἡ μόρα ἐφήκῃ, ὅπως μηδεὶς τῶν αὐτοῦ ὅπλων πόρρω γίγνηται. μετὰ δὲ τὰ 6 γυμνάσια καθίζειν μὲν ὁ πρῶτος πολέμαρχος κηρύττει· ἔστι δὲ τοῦτο ὥσπερ ἐξέτασις· ἐκ τούτου δὲ ἀριστοποιεῖσθαι καὶ ταχὺ τὸν πρόσκοπον ὑπολύεσθαι· ἐκ τούτου δ' αὖ διατριβαὶ καὶ ἀναπαύσεις πρὸ τῶν ἑσπερινῶν γυμνασίων. μετά γε μὴν ταῦτα δειπνοποι- 7 εῖσθαι κηρύττεται, καὶ ἐπειδὰν ᾄσωσιν εἰς τοὺς θεοὺς οἷς ἂν κεκαλλιερηκότες ὦσιν, ἐπὶ τῶν ὅπλων ἀναπαύεσθαι. ὅτι δὲ πολλὰ γράφω, οὐ δεῖ θαυμάζειν· ἥκιστα γὰρ Λακεδαιμονίοις εὕροι ἄν τις παραλελειμμένα ἐν τοῖς στρατιωτικοῖς ὅσα δεῖ ἐπιμελείας.

Διηγήσομαι δὲ καὶ ἣν ἐπὶ στρατιᾶς ὁ Λυκοῦργος XIII

---

2 *οἵτινες* P. *εἴ τινες* G. Hermann : *τινες* | 10 [*ἕνεκα*] Herw. | 12 *ἕωσπερ* Dind. : *ὅσῳπερ* s. *ὅσοι(οις)περ* | 13 *μεγαλοφρονεστέρους* Dind. | 15.16 *μάσσω* H. Iacobs [ap. Manso, Spart. 3, 345] : *ἐλάσσω*.

βασιλεῖ δύναμιν καὶ τιμὴν παρεσκεύασε. πρῶτον μὲν γὰρ ἐπὶ φρουρᾶς τρέφει ἡ πόλις βασιλέα καὶ τοὺς σὺν αὐτῷ· συσκηνοῦσι δὲ αὐτῷ οἱ πολέμαρχοι, ὅπως ἀεὶ συνόντες μᾶλλον καὶ κοινοβουλῶσιν, ἤν τι δέωνται· συσκηνοῦσι δὲ καὶ ἄλλοι τρεῖς ἄνδρες τῶν ὁμοίων· οὗτοι τούτοις ἐπιμελοῦνται πάντων τῶν ἐπιτηδείων, ὡς μηδημία ἀσχολία ᾖ αὐτοῖς τῶν πολεμικῶν ἐπιμελεῖσθαι. 2 ἐπαναλήψομαι δέ, ὡς ἐξορμᾶται σὺν στρατιᾷ ὁ βασιλεύς. θύει μὲν γὰρ πρῶτον οἴκοι ὢν Διὶ ἀγήτορι· κᾆτα οἱ σὺν αὐτῷ· ἢν δὲ ἐνταῦθα καλλιερήσῃ, λαβὼν ὁ πυρφόρος πῦρ ἀπὸ τοῦ βωμοῦ προηγεῖται ἐπὶ τὰ ὅρια τῆς χώρας· ὁ δὲ βασιλεὺς ἐκεῖ αὖ θύεται 3 Διὶ καὶ Ἀθηνᾷ. ὅταν δὲ ἀμφοῖν τούτοιν τοῖν θεοῖν καλλιερηθῇ, τότε διαβαίνει τὰ ὅρια τῆς χώρας· καὶ τὸ πῦρ μὲν ἀπὸ τούτων τῶν ἱερῶν προηγεῖται οὔποτε ἀποσβεννύμενον, σφάγια δὲ παντοῖα ἕπεται. ἀεὶ δὲ ὅταν θύηται, ἄρχεται μὲν τούτου τοῦ ἔργου ἔτι κνεφαῖος, προλαμβάνειν βουλόμενος τὴν τοῦ θεοῦ 4 εὔνοιαν. πάρεισι δὲ περὶ τὴν θυσίαν πολέμαρχοι, λοχαγοί, πεντηκοντῆρες, ξένων στρατίαρχοι, στρατοῦ σκευοφορικοῦ ἄρχοντες, καὶ τῶν ἀπὸ τῶν πόλεων δὲ 5 στρατηγῶν ὁ βουλόμενος· πάρεισι δὲ καὶ τῶν ἐφόρων δύο, οἳ πολυπραγμονοῦσι μὲν οὐδέν, ἢν μὴ ὁ βασιλεὺς προσκαλῇ· ὁρῶντες δὲ ὅ, τι ποιεῖ ἕκαστος πάντας σωφρονίζουσιν, ὡς τὸ εἰκός. ὅταν δὲ τελεσθῇ τὰ ἱερά, ὁ βασιλεὺς προσκαλέσας πάντας παραγγέλλει τὰ ποιητέα. ὥστε ὁρῶν ταῦτα ἡγήσαιο ἂν τοὺς μὲν ἄλλους αὐτοσχεδιαστὰς εἶναι τῶν στρατιωτικῶν, Λακεδαιμονίους δὲ μόνους τῷ ὄντι τεχνίτας τῶν πολε- 6 μικῶν. ἐπειδάν γε μὴν ἡγῆται ὁ βασιλεύς, ἢν μὲν

---

2 φρουρᾶς Löw. : φρουρᾷ | 10 κᾆτα οἱ P. καὶ οἱ Dind. : καὶ τοῖς | 20 ξένων - στρατοῦ] ἐνωμοτάρχαι οἱ τοῦ C. | 30 ὁ add. Dind.

μηδεὶς ἐναντίος φαίνηται, οὐδεὶς αὐτοῦ πρόσθεν πορεύεται, πλὴν Σκιρῖται καὶ οἱ προερευνώμενοι ἱππῆς· ἢν δέ ποτε μάχην οἴωνται ἔσεσθαι, λαβὼν τὸ ἄγημα τῆς πρώτης μόρας ὁ βασιλεὺς ἄγει στρέψας ἐπὶ δόρυ, ἔστ' ἂν γένηται ἐν μέσῳ δυοῖν μόραιν καὶ δυοῖν πολεμάρχοιν. οὓς δὲ δεῖ ἐπὶ τούτοις τετάχθαι, ὁ πρε- 7
σβύτατος τῶν περὶ δαμοσίαν συντάττει· εἰσὶ δὲ οὗτοι ὅσοι ἂν σύσκηνοι ὦσι τῶν ὁμοίων, καὶ μάντεις καὶ ἰατροὶ καὶ αὐληταὶ οἱ τοῦ στρατοῦ ἄρχοντες, καὶ ἐθελούσιοι ἢν τινες παρῶσιν. ὥστε τῶν δεομένων γίγνεσθαι οὐδὲν ἀπορεῖται· οὐδὲν γὰρ ἀπρόσκεπτόν ἐστι. μάλα δὲ καὶ τάδε ὠφέλιμα, ὡς ἐμοὶ δοκεῖ, 8
ἐμηχανήσατο Λυκοῦργος εἰς τὸν ἐν ὅπλοις ἀγῶνα. ὅταν γὰρ ὁρώντων ἤδη τῶν πολεμίων χίμαιρα σφαγιάζηται, αὐλεῖν τε πάντας τοὺς παρόντας αὐλητὰς νόμος καὶ μηδένα Λακεδαιμονίων ἀστεφάνωτον εἶναι· καὶ ὅπλα δὲ λαμπρύνεσθαι προαγορεύεται. ἔξεστι δὲ 9
τῷ νέῳ καὶ* κεκριμένῳ εἰς μάχην συνιέναι καὶ φαιδρὸν εἶναι καὶ εὐδόκιμον. καὶ παρακελεύονται δὲ τῷ ἐνωμοτάρχῃ· οὐδ' ἀκούεται γὰρ εἰς ἑκάστην πᾶσαν τὴν ἐνωμοτίαν ἀφ' ἑκάστου ἐνωμοτάρχου ἔξω· ὅπως δὲ καλῶς γίγνηται, πολεμάρχῳ δεῖ μέλειν. ὅταν γε 10
μὴν καιρὸς δοκῇ εἶναι στρατοπεδεύεσθαι, τούτου μὲν κύριος βασιλεύς, καὶ τοῦ δεῖξαί γε ὅπου δεῖ· τὸ μέντοι πρεσβείας ἀποπέμπεσθαι καὶ φιλίας καὶ πολεμίας, τοῦτ' αὖ βασιλέως. καὶ ἄρχονται μὲν πάντες ἀπὸ βασιλέως, ὅταν βούλωνται πρᾶξαί τι. ἢν δ' οὖν δίκης 11
δεόμενός τις ἔλθῃ, πρὸς ἑλλανοδίκας τοῦτον ὁ βασιλεὺς ἀποπέμπει, ἢν δὲ χρημάτων, πρὸς ταμίας, ἢν

1 ἐναντίος Castalio : ἐναντίοις | 12 μάλα Castalio : καλὰ | 19 ἰέναι C. | 21 ἐνωμ. ἔξω] τοῦ ἔξω ἐνωμ. Weisk. | 26 αὖ βασ.] οὐ βασ. ἀλλ' ἐφόρων Weisk. ἄνευ βασ. P.

δὲ ληίδα ἄγων, πρὸς λαφυροπώλας. οὕτω δὲ πραττομένων βασιλεῖ οὐδὲν ἄλλο ἔργον καταλείπεται ἐπὶ φρουρᾶς ἢ ἱερεῖ μὲν τὰ πρὸς τοὺς θεοὺς εἶναι, στρατηγῷ δὲ τὰ πρὸς τοὺς ἀνθρώπους.

XIV [Εἰ δέ τίς με ἔροιτο εἰ καὶ νῦν ἔτι μοι δοκοῦσιν οἱ Λυκούργου νόμοι ἀκίνητοι διαμένειν, τοῦτο μὰ Δί' 2 οὐκ ἂν ἔτι θρασέως εἴποιμι. οἶδα γὰρ πρότερον μὲν Λακεδαιμονίους αἱρουμένους οἴκοι τὰ μέτρια ἔχοντας ἀλλήλοις συνεῖναι μᾶλλον ἢ ἁρμόζοντας ἐν ταῖς πόλεσι 3 καὶ κολακευομένους διαφθείρεσθαι. καὶ πρόσθεν μὲν οἶδα αὐτοὺς φοβουμένους χρυσίον ἔχοντας φαίνεσθαι· νῦν δ' ἔστιν οὓς καὶ καλλωπιζομένους ἐπὶ τῷ κεκτῆ- 4 σθαι. ἐπίσταμαι δὲ καὶ πρόσθεν τούτου ἕνεκα ξενηλασίας γιγνομένας καὶ ἀποδημεῖν οὐκ ἐξόν, ὅπως μὴ ῥᾳδιουργίας οἱ πολῖται ἀπὸ τῶν ξένων ἐμπίμ- πλαιντο· νῦν δ' ἐπίσταμαι τοὺς δοκοῦντας πρώτους εἶναι ἐσπουδακότας, ὡς μηδέποτε παύωνται ἁρμό- 5 ζοντες ἐπί ξένης. καὶ ἦν μὲν ὅτε ἐπεμελοῦντο, ὅπως ἄξιοι εἶεν ἡγεῖσθαι· νῦν δὲ πολὺ μᾶλλον πραγματεύονται, ὅπως ἄρξουσιν ἢ ὅπως ἄξιοι τούτου ἔσονται. 6 τοιγαροῦν οἱ Ἕλληνες πρότερον μὲν ἰόντες εἰς Λακεδαίμονα ἐδέοντο αὐτῶν ἡγεῖσθαι ἐπὶ τοὺς δοκοῦντας ἀδικεῖν· νῦν δὲ πολλοὶ παρακαλοῦσιν ἀλλήλους ἐπὶ 7 τὸ διακωλύειν ἄρξαι πάλιν αὐτούς. οὐδὲν μέντοι δεῖ θαυμάζειν τούτων [τῶν] ἐπιψόγων αὐτοῖς γιγνομένων, ἐπειδὴ φανεροί εἰσιν οὔτε τῷ θεῷ πειθόμενοι οὔτε τοῖς Λυκούργου νόμοις.]

XV Βούλομαι δὲ καὶ ἃς βασιλεῖ πρὸς τὴν πόλιν συνθήκας ὁ Λυκοῦργος ἐποίησε διηγήσασθαι· μόνη γὰρ

---

5 sqq. caput XIV uncis incl. Weisk. | 10 [καί] κολ. Herw. | 15.16 ἀναπίμπλαιντο Herw. | 16 δὲ [ἐπίσταμαι] C. | 20 τούτου Steph. : τούτων | 25 τῶν del. P. | 26 ἔτι add. post θεῷ Herw.

δὴ αὕτη ἡ ἀρχὴ διατελεῖ οἵαπερ ἐξ ἀρχῆς κατεστάθη· τὰς δὲ ἄλλας πολιτείας εὕροι ἄν τις μετακεκινημένας καὶ ἔτι καὶ νῦν μετακινουμένας. ἔθηκε γὰρ θύειν μὲν βασιλέα πρὸ τῆς πόλεως τὰ δημόσια ἅπαν- 2
5 τα, ὡς ἀπὸ [τοῦ] θεοῦ ὄντα, καὶ στρατιὰν ὅποι ἂν ἡ πόλις ἐκπέμπῃ ἡγεῖσθαι. ἔδωκε δὲ καὶ γέρα ἀπὸ 3 τῶν θυομένων λαμβάνειν καὶ γῆν τε ἐν πολλαῖς τῶν περιοίκων πόλεων ἀπέδειξεν ἐξαίρετον τοσαύτην, ὥστε μήτ' ἐνδεῖσθαι τῶν μετρίων μήτε πλούτῳ ὑπερφέ-
10 ρειν. ὅπως δὲ καὶ οἱ βασιλεῖς ἔξω σκηνοῖεν, σκηνὴν 4 αὐτοῖς δημοσίαν ἀπέδειξε, καὶ διμοιρίᾳ γε ἐπὶ τῷ δείπνῳ ἐτίμησεν, οὐχ ἵνα διπλάσια καταφάγοιεν, ἀλλ' ἵνα καὶ ἀπὸ τοῦδε τιμῆσαι ἔχοιεν εἴ τινα βούλοιντο. ἔδωκε δ' αὖ καὶ συσκήνους δύο ἑκατέρῳ 5
15 προσελέσθαι, οἳ δὴ καὶ Πύθιοι καλοῦνται. ἔδωκε δὲ καὶ πασῶν τῶν συῶν ἀπὸ τόκου χοῖρον λαμβάνειν, ὡς μήποτε ἀπορήσαι βασιλεὺς ἱερῶν, ἤν τι δεηθῇ θεοῖς συμβουλεύσασθαι. καὶ πρὸς τῇ οἰκίᾳ δὲ λίμνη 6
ὕδατος ἀφθονίαν παρέχει· ὅτι δὲ καὶ τοῦτο πρὸς
20 πολλὰ χρήσιμον, οἱ μὴ ἔχοντες αὐτὸ μᾶλλον γιγνώσκουσι. καὶ ἕδρας δὲ πάντες ὑπανίστανται βασιλεῖ, πλὴν οὐκ ἔφοροι ἀπὸ τῶν ἐφορικῶν δίφρων. καὶ 7 ὅρκους δὲ ἀλλήλοις κατὰ μῆνα ποιοῦνται, ἔφοροι μὲν ὑπὲρ τῆς πόλεως, βασιλεὺς δὲ ὑπὲρ ἑαυτοῦ. ὁ
25 δὲ ὅρκος ἐστὶ τῷ μὲν βασιλεῖ κατὰ τοὺς τῆς πόλεως κειμένους νόμους βασιλεύσειν, τῇ δὲ πόλει ἐμπεδορκοῦντος ἐκείνου ἀστυφέλικτον τὴν βασιλείαν παρέξειν. αὗται μὲν οὖν αἱ τιμαὶ οἴκοι ζῶντι βασιλεῖ δέδονται, 8

1 ἡ add. Weisk. | 4 πρὸς Haas | 5 τοῦ del. Dind. | 9 μήτ' ἐνδεῖσθαι Dind. : μήτε δεῖσθαι | 10 ἔξω] ἀξίως Iacobs | 17 ἱερείων Dind. | 18 λίμνη] κρήνη Herw. | 28 [οἴκοι] C. δημοσίᾳ Herw.

οὐδέν τι πολὺ ὑπερφέρουσαι τῶν ἰδιωτικῶν· οὐ γὰρ
ἐβουλήθη οὔτε τοῖς βασιλεῦσι τυραννικὸν φρόνημα
παραστῆσαι οὔτε τοῖς πολίταις φθόνον ἐμποιῆσαι τῆς
9 δυνάμεως. εἰ δὲ τελευτήσαντι τιμαὶ βασιλεῖ δέδονται,
τῇδε βούλονται δηλοῦν οἱ Λυκούργου νόμοι, ὅτι οὐχ 5
ὡς ἀνθρώπους, ἀλλ' ὡς ἥρωας τοὺς Λακεδαιμονίων
βασιλεῖς προτετιμήκασιν.

ΠΟΡΟΙ.

Ἐγὼ μὲν τοῦτο ἀεί ποτε νομίζω, ὁποῖοί τινες ἂν I
οἱ προστάται ὦσι, τοιαύτας καὶ τὰς πολιτείας γίγνεσθαι. ἐπεὶ δὲ τῶν Ἀθήνησι προεστεκότων ἔλεγόν τινες ὡς γιγνώσκουσι μὲν τὸ δίκαιον οὐδενὸς ἧττον τῶν ἄλλων ἀνθρώπων, διὰ δὲ τὴν τοῦ πλήθους πενίαν ἀναγκάζεσθαι [ἔφασαν] ἀδικώτεροι εἶναι περὶ τὰς πόλεις, ἐκ τούτου ἐπεχείρησα σκοπεῖν εἴ πῃ δύναιντ' ἂν οἱ πολῖται διατρέφεσθαι ἐκ τῆς ἑαυτῶν, ὅθενπερ καὶ δικαιότατον, νομίζων, εἰ τοῦτο γένοιτο, ἅμα τῇ τε πενίᾳ αὐτῶν ἐπικεκουρῆσθαι ἂν καὶ τῷ ὑπόπτους τοῖς Ἕλλησιν εἶναι. σκοποῦντι δή μοι [ἃ 2
ἐπενόησα] τοῦτο μὲν εὐθὺς ἀνεφαίνετο ὅτι ἡ χώρα πέφυκεν οἷα πλείστας προσόδους παρέχεσθαι. ὅπως δὲ γνωσθῇ ὅτι ἀληθὲς τοῦτο λέγω, πρῶτον διηγήσομαι τὴν φύσιν τῆς Ἀττικῆς. οὐκοῦν τὸ μὲν τὰς 3
ὥρας ἐνθάδε πρᾳοτάτας εἶναι καὶ αὐτὰ τὰ γιγνόμενα μαρτυρεῖ· ἃ γοῦν πολλαχοῦ οὐδὲ βλαστάνειν δύναιτ' ἂν ἐνθάδε καρποφορεῖ. ὥσπερ δὲ ἡ γῆ, οὕτω καὶ ἡ περὶ τὴν χώραν θάλατταν παμφορωτάτη ἐστί. καὶ μὴν ὅσαπερ οἱ θεοὶ ἐν ταῖς ὥραις ἀγαθὰ παρέχουσι,

---

1 *πόροι* Menand. rhet. gr. IX 161, 2 Walz., Athen. VI 272 C, Laert. Diog. II 57, Lexic. Berolin. ; *ἢ περὶ προσόδων* add. libri, sustulit P. | 3 *ἐλέγοντο* libri praeter A^2 | 6 *ἔφασαν* del. C. | 10 *δὴ* post *τῷ* add. Schanz | 11.12 *ἃ ἐπεν.* del. Schneid.

καὶ ταῦτα πάντα ἐνταῦθα πρωιαίτατα μὲν ἄρχεται,
4 ὀψιαίτατα δὲ λήγει. οὐ μόνον δὲ κρατεῖ τοῖς ἐπ' ἐ-
νιαυτὸν θάλλουσί τε καὶ γηράσκουσιν, ἀλλὰ καὶ ἀίδια
ἀγαθὰ ἔχει ἡ χώρα. πέφυκε μὲν γὰρ λίθος ἐν αὐτῇ
ἄφθονος, ἐξ οὗ κάλλιστοι μὲν ναοί, κάλλιστοι δὲ
βωμοὶ γίγνονται, εὐπρεπέστατα δὲ θεοῖς ἀγάλματα·
πολὺ δ' αὐτοῦ καὶ Ἕλληνες καὶ βάρβαροι προσδέον-
5 ται. ἔστι δὲ καὶ γῆ ἡ σπειρομένη μὲν οὐ φέρει καρ-
πόν, ὀρυττομένη δὲ πολλαπλασίους τρέφει ἢ εἰ σῖτον
ἔφερε. καὶ μὴν ὑπάργυρός ἐστι σαφῶς θείᾳ μοίρᾳ·
πολλῶν γοῦν πόλεων παροικουσῶν καὶ κατὰ γῆν καὶ
κατὰ θάλατταν εἰς οὐδεμίαν τούτων οὐδὲ μικρὰ
6 φλὲψ ἀργυρίτιδος διήκει. οὐκ ἂν ἀλόγως δέ τις
οἰηθείη τῆς Ἑλλάδος καὶ πάσης δὲ τῆς οἰκουμένης
ἀμφὶ τὰ μέσα οἰκεῖσθαι τὴν πόλιν. ὅσῳ γὰρ ἄν τινες
πλεῖον ἀπέχωσιν αὐτῆς, τοσούτῳ χαλεπωτέροις ἢ
ψύχεσιν ἢ θάλπεσιν ἐντυγχάνουσιν· ὁπόσοι τ' ἂν αὖ
βουληθῶσιν ἀπ' ἐσχάτων τῆς Ἑλλάδος ἐπ' ἔσχατα
ἀφικέσθαι, πάντες οὗτοι ὥσπερ κύκλου τόρνον τὰς
7 Ἀθήνας ἢ παραπλέουσιν ἢ παρέρχονται. καὶ μὴν
οὐ περίρρυτός γε οὖσα ὅμως ὥσπερ νῆσος πᾶσιν
ἀνέμοις προσάγεταί τε ὧν δεῖται καὶ ἀποπέμπεται ἃ
βούλεται· ἀμφιθάλαττος γάρ ἐστι. καὶ κατὰ γῆν δὲ
8 πολλὰ δέχεται ἐμπόρια· ἤπειρος γάρ ἐστιν. ἔτι δὲ
ταῖς μὲν πλείσταις πόλεσι βάρβαροι προσοικοῦντες
πράγματα παρέχουσιν· Ἀθήναις δ' αἱ γειτονοῦσαι
[αἱ] καὶ αὐταὶ πλεῖστον ἀπέχουσι τῶν βαρβάρων.

II Τούτων μὲν οὖν ἁπάντων, ὥσπερ εἶπον, νομίζω

---

1 [καὶ] Z. | 7 πολὺ Wilam.: πολλοὶ | 8 sqq. sectt. 5.6 protulit Papyr. Bybl. Monac. [ap. Wilcken, Archiv für Papyrusforschung, Lipsiae, I, 1901, 468 sqq.] | 15 οἰκεῖσθαι Papyr. ᾠκῆσθαι libri | ἄν Schneid.: οὖν | 24 πολλὰς δ. ἐμπορίας Schneid. | 26 Ἀθήναις Weisk.: ἀθηναίοις | δ' αἱ P. δὲ | γειτονοῦσαι P.: γειτονεύουσι | αἱ del. P.

αὐτὴν τὴν χώραν αἰτίαν εἶναι. εἰ δὲ πρὸς τοῖς αὐτοφυέσιν ἀγαθοῖς πρῶτον μὲν τῶν μετοίκων ἐπιμέλεια γένοιτο· αὕτη γὰρ ἡ πρόσοδος τῶν καλλίστων ἔμοιγε δοκεῖ εἶναι, ἐπείπερ αὐτοὶ αὐτοὺς τρέφοντες καὶ πολλὰ ὠφελοῦντες τὴν πόλιν οὐ λαμβάνουσι μισθόν, ἀλλὰ μετοίκιον προσεισφέρουσιν· ἐπιμέλειά γε μὴν ἥδ' ἂν ἀρκεῖν μοι δοκεῖ, εἰ ἀφέλοιμεν μὲν ὅσα μηδὲν ὠφελοῦντα τὴν πόλιν ἀτιμίας δοκεῖ τοῖς μετοίκοις παρέχειν, ἀφέλοιμεν δὲ καὶ τὸ συστρατεύεσθαι ὁπλίτας [μετοίκους] τοῖς ἀστοῖς. μέγας μὲν γὰρ ὁ κίνδυνος ἀστῶν· μέγα δὲ καὶ τὸ ἀπὸ τῶν τεχνῶν καὶ τῶν οἰκιῶν ἀπεῖναι. ἀλλὰ μὴν καὶ ἡ πόλις γ' ἂν ὠφεληθείη, εἰ οἱ πολῖται μετ' ἀλλήλων στρατεύοιντο μᾶλλον ἢ εἰ συντάττοιντο αὐτοῖς, ὥσπερ νῦν, Λυδοὶ καὶ Φρύγες καὶ Σύροι καὶ ἄλλοι παντοδαποὶ βάρβαροι [· πολλοὶ γὰρ τοιοῦτοι τῶν μετοίκων]. πρὸς δὲ τῷ ἀγαθῷ [τῷ τούτους ἐκ τοῦ συντάττεσθαι ἀφεθῆναι] καὶ κόσμος ἂν τῇ πόλει εἴη, εἰ δοκοῖεν Ἀθηναῖοι εἰς τὰς μάχας αὐτοῖς μᾶλλον πιστεύειν ἢ ἀλλοδαποῖς. καὶ μεταδιδόντες δ' ἄν μοι δοκοῦμεν τοῖς μετοίκοις τῶν τ' ἄλλων ὧν καλὸν μεταδιδόναι καὶ τοῦ ἱππικοῦ εὐνουστέρους ἂν ποιεῖσθαι καὶ ἅμα ἰσχυροτέραν ἂν καὶ μείζω τὴν πόλιν ἀποδεικνύναι. εἶτα ἐπειδὴ καὶ πολλὰ οἰκιῶν ἔρημά ἐστιν ἐντὸς τῶν τειχῶν [καὶ] οἰκόπεδα, εἰ ἡ πόλις διδοίη οἰκοδομησομένοις ἐγκεκτῆσθαι οἷ ἂν αἰτούμενοι ἄξιοι δοκῶσιν

4 *αὐτοὶ* add. Z. | 5 *τὴν πόλιν* Wilam. : *τὰς πόλεις* | 6 *προσεισφέρουσι* Z. : *προσφέρουσι* | 10 *μετοίκους* del. Wilam. | 11 *ἀστῶν* s. potius *ὁ τῶν ἀστῶν* P. *ἀγὼν* (deleto *κίνδυνος*) Kaibel: *ἀπὼν* | *τεχνῶν* Castalio : *τέκνων* | 12 *οἰκείων* Dind. | *ἀπεῖναι* C. : *ἀπιέναι* | 16 *πολλοὶ - μετοίκων* del. Herw. | 17.18 *τῷ-ἀφεθ.* del. C. | 19.20 *ἢ ἀλλ.* susp. Wilam. | 21 *τ'* add. Bergk | 25 *καὶ* del. Dind. | 25.26 *οἰκ.* Hertlin: *οἰκοδομησαμέναις.*

εἶναι, πολὺ ἂν οἶμαι καὶ διὰ ταῦτα πλείους τε καὶ
7 βελτίους ὀρέγεσθαι τῆς Ἀθήνησιν οἰκήσεως. καὶ εἰ
μετοικοφύλακάς γε ὥσπερ ὀρφανοφύλακας ἀρχὴν κα-
θισταῖμεν, καὶ τούτοις τιμή τις ἐπείη οἵτινες πλείστους
μετοίκους ἀποδείξειαν, καὶ τοῦτο εὐνουστέρους ἂν
τοὺς μετοίκους ποιοίη καί, ὡς τὸ εἰκός, πάντες ἂν
οἱ ἀπόλιδες τῆς Ἀθήνησι μετοικίας ὀρέγοιντο καὶ τὰς
προσόδους ἂν αὔξοιεν.

III Ὡς γε μὴν καὶ ἐμπορεύεσθαι ἡδίστη τε καὶ κερ-
δαλεωτάτη ἡ πόλις, νῦν ταῦτα λέξω. πρῶτον μὲν γὰρ
δήπου ναυσὶ καλλίστας καὶ ἀσφαλεστάτας ὑποδοχὰς
ἔχει, ὅπου γ' ἔστιν εἰσορμισθέντας ἀδεῶς ἕνεκα χει-
2 μῶνος ἀναπαύεσθαι. ἀλλὰ μὴν καὶ τοῖς ἐμπόροις
ἐν μὲν ταῖς πλείσταις τῶν πόλεων ἀντιφορτίζεσθαί
τι ἀνάγκη· νομίσμασι γὰρ οὐ χρησίμοις ἔξω χρῶν-
ται· ἐν δὲ ταῖς Ἀθήναις πλεῖστα μὲν ἔστιν ἀντεξάγειν
ὧν ἂν δέωνται ἄνθρωποι, ἢν δὲ μὴ βούλωνται ἀν-
τιφορτίζεσθαι, καὶ [οἱ] ἀργύριον ἐξάγοντες καλὴν
ἐμπορίαν ἐξάγουσιν. ὅπου γὰρ ἂν πωλῶσιν αὐτό,
3 πανταχοῦ πλεῖον τοῦ ἀρχαίου λαμβάνουσιν. εἰ δὲ
καὶ τῇ τοῦ ἐμπορίου ἀρχῇ ἆθλα προτιθείη τις ὅστις
δικαιότατα καὶ τάχιστα διαιροίη τὰ ἀμφίλογα, ὡς μὴ
κωλύεσθαι ἀποπλεῖν τὸν βουλόμενον, πολὺ ἂν καὶ
4 διὰ ταῦτα πλείους τε καὶ ἥδιον ἐμπορεύοιντο. ἀγα-
θὸν δὲ καὶ καλὸν καὶ προεδρίαις τιμᾶσθαι ἐμπόρους
καὶ ναυκλήρους καὶ ἐπὶ ξένιά γ' ἔστιν ὅτε καλεῖσθαι,
οἳ ἂν δοκῶσιν ἀξιολόγοις καὶ πλοίοις καὶ ἐμπορεύ-
μασιν ὠφελεῖν τὴν πόλιν. ταῦτα γὰρ τιμώμενοι οὐ μό-
5 νον τοῦ κέρδους ἀλλὰ καὶ τῆς τιμῆς ἕνεκεν ὡς πρὸς φί-

4 *πλείστους* C.: *πλείους* | 7 *Ἀθήνησι* Portus: *ἀθήνηθεν* | 11 *ναυσὶ* Weisk.: *ναῦς* | 12 *ἀδεῶς* Deventer: *ἡδέως* | 18 *οἱ* del. Wilam. | 23 *κωλύεσθαι* Dind. *κατακωλ.* C.: *ἀποκωλ.*

λους ἐπισπεύδοιεν ἄν. ὅσῳ γε μὴν πλείους εἰσοικίζοιντό τε καὶ ἀφικνοῖντο, [δῆλον ὅτι] τοσούτῳ ἂν πλεῖον καὶ εἰσάγοιτο καὶ ἐξάγοιτο [καὶ ἐκπέμποιτο καὶ πωλοῖτο] καὶ μισθοφοροῖτο καὶ τελεσφοροίη. εἰς μὲν 6
οὖν τὰς τοιαύτας αὐξήσεις τῶν προσόδων οὐδὲ προσδαπανῆσαι δεῖ οὐδὲν ἀλλ' ἢ ψηφίσματά τε φιλάνθρωπα καὶ ἐπιμελείας. ὅσαι δ' ἂν ἄλλαι δοκοῦσί μοι πρόσοδοι γίγνεσθαι, γιγνώσκω ὅτι ἀφορμῆς δεήσει εἰς αὐτάς. οὐ μέντοι δύσελπίς εἰμι τὸ μὴ οὐχὶ προ- 7
θύμως ἂν τοὺς πολίτας εἰς τὰ τοιαῦτα εἰσφέρειν, ἐνθυμούμενος ὡς πολλὰ μὲν εἰσήνεγκεν ἡ πόλις, ὅτε Ἀρκάσιν ἐβοήθει ἐπὶ Λυσιστράτου ἡγουμένου, πολλὰ δὲ ἐπὶ Ἡγησίλεω. ἐπίσταμαι δὲ καὶ τριήρεις 8
πολλάκις ἐκπεμπομένας σὺν πολλῇ δαπάνῃ, καὶ ταῦτα [γενομένας,] τούτου μὲν ἀδήλου ὄντος εἴτε βέλτιον εἴτε κάκιον ἔσται, ἐκείνου δὲ δήλου ὅτι οὐδέποτε ἀπολήψονται ἃ ἂν εἰσενέγκωσιν οὐδὲ μεθέξουσιν ὧν ἂν ἕνεκ' εἰσενέγκωσι. κτῆσιν δὲ ἀπ' οὐδενὸς ἂν 9
οὕτω καλὴν κτήσαιντο ὥσπερ ἀφ' οὗ ἂν προτελέσωσιν εἰς τὴν ἀφορμήν· ᾧ μὲν γὰρ ἂν δέκα μναῖ εἰσφορὰ γένηται, ὥσπερ ναυτικόν, σχεδὸν ἐπίπεμπτον αὐτῷ γίγνεται, τριώβολον τῆς ἡμέρας λαμβάνοντι· ᾧ δέ γ' ἂν πέντε μναῖ, πλεῖον ἢ ἐπίτριτον. οἱ δέ 10
γε πλεῖστοι Ἀθηναίων πλείω λήψονται κατ' ἐνιαυτὸν ἢ ὅσα ἂν εἰσενέγκωσιν. οἱ γὰρ μνᾶν προτελέσαντες ἐγγὺς δυοῖν μναῖν πρόσοδον ἕξουσι, καὶ ταῦτα ἐν πόλει, ὃ δοκεῖ τῶν ἀνθρωπίνων ἀσφαλέστατόν τε καὶ πολυχρονιώτατον εἶναι. οἶμαι δὲ ἔγωγε, εἰ μέλ- 11

---

2 δῆλον ὅτι del. P. | 3 καὶ ἐξάγ. del. Dind. | 3.4 ἐκπ. - πωλοῖτο del. Z. | 6 ἀλλ' ἢ Weisk.: ἀλλὰ | 14 καὶ ταῦτα Z.: ταύτας | 15 γενομένας del. Z. | 18 ἕνεκ' add. Wilam. | 19 ὥσπερ Löw.: ὡς εἴπερ.

λοιεν ἀναγραφήσεσθαι εὐεργέται εἰς τὸν ἅπαντα χρόνον, καὶ ξένους ἂν πολλοὺς εἰσενεγκεῖν, ἔστι δ' ἃς ἂν καὶ πόλεις τῆς ἀναγραφῆς ὀρεγομένας. ἐλπίζω δὲ καὶ βασιλέας ἄν τινας καὶ τυράννους καὶ σατράπας ἐπιθυμῆσαι μετασχεῖν ταύτης τῆς χάριτος.

12 Ὁπότε γε μὴν ἀφορμὴ ὑπάρχοι, καλὸν μὲν καὶ ἀγαθὸν ναυκλήροις οἰκοδομεῖν καταγώγια περὶ λιμένας πρὸς τοῖς ὑπάρχουσι, καλὸν δὲ καὶ ἐμπόροις [ἐπὶ] προσήκοντας τόπους ἐπ' ὠνῇ τε καὶ πράσει, καὶ τοῖς εἰσαφικνουμένοις δὲ δημόσια καταγώγια.

13 εἰ δὲ καὶ τοῖς ἀγοραίοις οἰκήσεις τε καὶ πωλητήρια κατασκευασθείη καὶ ἐν Πειραιεῖ καὶ ἐν τῷ ἄστει, ἅμα τ' ἂν κόσμος εἴη τῇ πόλει καὶ πολλαὶ ἂν ἀπὸ τούτων

14 πρόσοδοι γίγνοιντο. ἀγαθὸν δέ μοι δοκεῖ εἶναι πειραθῆναι, εἰ καὶ ὥσπερ τριήρεις δημοσίας ἡ πόλις κέκτηται, οὕτω καὶ ὁλκάδας δημοσίας δυνατὸν ἂν γένοιτο κτήσασθαι καὶ ταύτας ἐκμισθοῦν ἐπ' ἐγγυητῶν ὥσπερ καὶ τἆλλα δημόσια. εἰ γὰρ καὶ τοῦτο οἷόν τε ὂν φανείη, πολλὴ ἂν καὶ ἀπὸ τούτων πρόσοδος γίγνοιτο.

IV Τά γε μὴν ἀργύρεια εἰ κατασκευασθείη ὡς δεῖ, πάμπολλα ἂν νομίζω χρήματα ἐξ αὐτῶν καὶ ἄνευ τῶν ἄλλων προσόδων προσιέναι. βούλομαι δὲ καὶ τοῖς μὴ εἰδόσι τὴν τούτων δύναμιν δηλῶσαι. ταύτην γὰρ γνόντες καὶ ὅπως χρῆσθαι δεῖ αὐτοῖς ἄμεινον

2 ἂν βουλεύοισθε. οὐκοῦν ὅτι μὲν πάνυ πάλαι ἐνεργά ἐστι, πᾶσι σαφές· οὐδεὶς γοῦν οὐδὲ πειρᾶται λέγειν, ἀπὸ ποίου χρόνου ἐπεχειρήθη· οὕτω δὲ πάλαι ὀρυττομένης τε καὶ ἐκφορουμένης τῆς ἀργυρίτιδος κατανοήσατε, τί μέρος οἱ ἐκβεβλημένοι σωροὶ τῶν αὐτοφυῶν

9 ἐπὶ del. Deventer | ἐπ' add. Bergk | 26 πάλαι Portus : παλαιά.

τε καὶ ὑπαργύρων λόφων. οὐδὲ μὴν ὁ ἀργυρώδης 3
τόπος εἰς μεῖόν τι συστελλόμενος ἀλλ' ἀεὶ ἐπὶ πλεῖον
ἐκτεινόμενος φανερός ἐστιν. ἐν ᾧ γε μὴν χρόνῳ οἱ
πλεῖστοι ἄνθρωποι ἐγένοντο ἐν αὐτοῖς, οὐδεὶς πώποτε
ἔργου ἠπόρησεν, ἀλλ' ἀεὶ τὰ ἔργα τῶν ἐργαζομένων
περιῆν. καὶ νῦν δὲ οἱ κεκτημένοι ἐν τοῖς μετάλλοις 4
ἀνδράποδα οὐδεὶς τοῦ πλήθους ἀφαιρεῖ, ἀλλ' ἀεὶ
προσκτᾶται ὁπόσα ἂν πλεῖστα δύνηται. καὶ γὰρ δὴ
ὅταν μὲν ὀλίγοι ὀρύττωσι καὶ ζητῶσιν, ὀλίγα οἶμαι
καὶ τὰ χρήματα εὑρίσκεται· ὅταν δὲ πολλοί, πολλα-
πλασία ἡ ἀργυρῖτις ἀναφαίνεται. ὥστε ἐν μόνῳ τούτῳ 5
ὧν ἐγὼ οἶδα ἔργων οὐδὲ φθονεῖ οὐδεὶς τοῖς ἐπικατα-
σκευαζομένοις. ἔτι δὲ οἱ μὲν ἀγροὺς κεκτημένοι
πάντες ἔχοιεν ἂν εἰπεῖν, ὁπόσα ζεύγη ἀρκεῖ εἰς τὸ
χωρίον καὶ ὁπόσοι ἐργάται· ἢν δ' ἔτι πλεῖον τῶν
ἱκανῶν ἐμβάλλῃ τις, ζημίαν λογίζονται· ἐν δὲ τοῖς
ἀργυρείοις [ἔργοις] πάντες δή φασιν ἐνδεῖσθαι ἐρ-
γατῶν. καὶ γὰρ οὐδ' ὥσπερ ὅταν πολλοὶ χαλκοτύποι 6
γένωνται, ἀξίων γενομένων τῶν χαλκευτικῶν ἔργων,
καταλύονται οἱ χαλκοτύποι, καὶ οἱ σιδηρῆς γε ὡσαύ-
τως· καὶ ὅταν γε πολὺς σῖτος καὶ οἶνος γένηται,
ἀξίων ὄντων τῶν καρπῶν, ἀλυσιτελεῖς αἱ γεωργίαι
γίγνονται, ὥστε πολλοὶ ἀφέμενοι τοῦ τὴν γῆν ἐργά-
ζεσθαι ἐπ' ἐμπορίας καὶ καπηλείας καὶ τοκισμοὺς
τρέπονται· ἀργυρῖτις δὲ ὅσῳ ἂν πλείων φαίνηται
[καὶ ἀργύριον πλεῖον γίγνηται], τοσούτῳ πλείους ἐπὶ
τὸ ἔργον τοῦτο ἔρχονται. καὶ γὰρ δὴ ἔπιπλα μέν, 7
ἐπειδὰν ἱκανά τις κτήσηται τῇ οἰκίᾳ, οὐ μάλα ἔτι
προσωνοῦνται· ἀργύριον δὲ οὐδείς πω οὕτω πολὺ

---

12 ἐπικατασκ. C.: ἐπισκευάζ. | 15 ἔτι Hertlin: ἐπὶ | 17 ἔργοις del. Z. | 20.21 γε ὡσ.] δὲ ὡσ. Z. | 23 ἀφέμενοι C.: ἀφιέμενοι | 26 καὶ - γίγνηται del. C.

ἐκτήσατο ὥστε μηκέτι προσδεῖσθαι· ἀλλ' ἤν τισι γένηται παμπληθές, τὸ περιττεῦον κατορύττοντες
8 οὐδὲν ἧττον ἥδονται ἢ χρώμενοι αὐτῷ. καὶ μὴν ὅταν γε εὖ πράττωσιν αἱ πόλεις, ἰσχυρῶς οἱ ἄνθρωποι ἀργυρίου δέονται. οἱ μὲν γὰρ ἄνδρες ἀμφὶ ὅπλα τε καλὰ καὶ ἵππους ἀγαθοὺς [τε] καὶ οἰκίας καὶ κατασκευὰς μεγαλοπρεπεῖς βούλονται δαπανᾶν, αἱ δὲ γυναῖκες εἰς ἐσθῆτα πολυτελῆ καὶ χρυσοῦν κόσμον
9 τρέπονται. ὅταν τε αὖ νοσήσωσι πόλεις ἢ ἀφορίαις καρπῶν ἢ πολέμῳ, ἔτι καὶ πολὺ μᾶλλον [ἀργοῦ τῆς
10 γῆς γιγνομένης] καὶ εἰς ἐπιτήδεια καὶ εἰς ἐπικούρους νομίσματος δέονται. εἰ δέ τις φήσειε καὶ χρυσίον μηδὲν ἧττον χρήσιμον εἶναι ἢ ἀργύριον, πρὸς τοῦτο μὲν οὐκ ἀντιλέγω, ἐκεῖνο μέντοι οἶδα, ὅτι καὶ χρυσίον ὅταν πολὺ παραφανῇ, αὐτὸ μὲν ἀτιμότερον
11 γίγνεται, τὸ δὲ ἀργύριον τιμιώτερον ποιεῖ. ταῦτα μὲν οὖν ἐδήλωσα τούτου ἕνεκα, ὅπως θαρσοῦντες μὲν ὅτι πλείστους ἀνθρώπους ἐπὶ τἀργύρεια ἄγωμεν, θαρσοῦντες δὲ κατασκευαζώμεθα ἐν αὐτοῖς, ὡς οὔτε ἐπιλειψούσης ποτὲ τῆς ἀργυρίτιδος οὔτε τοῦ ἀργυ-
12 ρίου ἀτίμου ποτὲ ἐσομένου. δοκεῖ δέ μοι καὶ ἡ πόλις προτέρα ἐμοῦ ταῦτ' ἐγνωκέναι· παρέχει γοῦν ἐπὶ ἰσοτελείᾳ καὶ τῶν ξένων τῷ βουλομένῳ ἐργάζεσθαι ἐν τοῖς μετάλλοις.

13 Ἵνα δὲ καὶ σαφέστερον περὶ τῆς τροφῆς εἴπω, νῦν διηγήσομαι ὡς κατασκευασθέντα τἀργύρεια ὠφελιμώτατ' ἂν εἴη τῇ πόλει. ἀφ' ὧν μὲν οὖν ἔγωγε [ἀφ' ὧν] μέλλω λέγειν οὐδέν τι ἀξιῶ θαυμάζεσθαι

---

1 *μηκέτι* Herw.: *μὴ ἔτι* | 6 *τε* del. Castalio | 9 *ἀφορίᾳ* C. | 10.11 *ἀργοῦ - γιγνομ.* del. Wilam. | 13 *πρὸς* add. Z. | 15 *παραφανῇ* Schneid.: *παραφαίνῃ* | 20 *τῆς* add. Dind. | 23 *τῷ βουλ.* Löw.: *τῶν βουλομένων* | 27 *ἀφ' ὧν* P.: *ἀπ' αὐτῶν* | 28 *ἀφ' ὧν* del. P.

ὡς δυσεύρετόν τι ἐξηυρηκώς· τὰ μέν γὰρ ὧν λέξω καὶ νῦν ἔτι πάντες ὁρῶμεν, τὰ δὲ παροιχόμενα πάντων * κατὰ ταὐτὰ αὖ ἀκούομεν. τῆς μέντοι πόλεως πάνυ ἄξιον θαυμάσαι τὸ αἰσθανομένην πολλοὺς πλουτιζομένους ἐξ αὐτῆς ἰδιώτας μὴ μιμεῖσθαι τούτους. πάλαι μὲν γὰρ δήπου οἷς μεμέληκεν ἀκηκόαμεν ὅτι Νικίας ποτὲ ὁ Νικηράτου ἐκτήσατο ἐν τοῖς ἀργυρείοις χιλίους ἀνθρώπους, οὓς ἐκεῖνος Σωσίᾳ τῷ Θρᾳκὶ ἐξεμίσθωσεν, ἐφ' ᾧ ὀβολὸν μὲν ἀτελῆ ἑκάστου τῆς ἡμέρας ἀποδιδόναι, τὸν δ' ἀριθμὸν ἴσους ἀεὶ παρέχειν. ἐγένετο δὲ καὶ Ἱππονίκῳ ἑξακόσια ἀνδράποδα κατὰ τὸν αὐτὸν τρόπον ἐκδεδομένα [τοῦτον], ἃ προσέφερε μνᾶν ἀτελῆ τῆς ἡμέρας· Φιλημονίδῃ δὲ τριακόσια ἡμιμναῖον· ἄλλοις δέ γε ὡς οἶμαι δύναμις ἑκάστοις ὑπῆρχεν. ἀτὰρ τί τὰ παλαιὰ δεῖ λέγειν; καὶ γὰρ νῦν πολλοί εἰσιν ἐν τοῖς ἀργυρείοις ἄνθρωποι οὕτως ἐκδεδομένοι. περαινομένων γε μὴν ὧν λέγω τοῦτ' ἂν μόνον καινὸν γένοιτο, εἰ ὥσπερ οἱ ἰδιῶται κτησάμενοι ἀνδράποδα πρόσοδον ἀέναον κατεσκευασμένοι εἰσίν, οὕτω καὶ ἡ πόλις κτῷτο δημόσια ἀνδράποδα, ἕως γίγνοιτο τρία ἑκάστῳ Ἀθηναίων. εἰ δὲ δυνατὰ λέγομεν καθ' ἓν ἕκαστον αὐτῶν σκοπῶν ὁ βουλόμενος κρινέτω. οὐκοῦν τιμὴν μὲν ἀνθρώπων εὔδηλον ὅτι μᾶλλον ἂν τὸ δημόσιον δύναιτο ἢ ἰδιῶται παρασκευάσασθαι. τῇ γε μὴν βουλῇ ῥᾴδιον καὶ κηρύξαι ἄγειν τὸν βουλόμενον ἀνδράποδα καὶ τὰ προσαχθέντα πρίασθαι. ἐπειδὰν δὲ ὠνηθῇ, τί ἂν ἧττον μισθοῖτό τις παρὰ τοῦ δημοσίου ἢ παρὰ

14 15 16 17 18 19

3 *πάντες* Schanz *παρὰ τῶν πατέρων* Wilam. *πάντων λεγόντων* P. | *αὖ ἀκ.*] *ἀκηκόαμεν* Wilam. | 6 *πάλαι - γὰρ*] *παρεῖχεν* H. Hager | 11 *παρέχειν* Löw.: *παρεῖχεν* | 12 *τοῦτον* del. Z. | 14 *ἡμιμναῖον* Löw.: *ἡμιμναῖα* | *ὡς οἶμ.*] *οἶμ. ὡς* Wilam.

τῶν ἰδιωτῶν, ἐπὶ τοῖς αὐτοῖς μέλλων ἕξειν; μισθοῦνται γοῦν καὶ τεμένη καὶ ἱερὰ καὶ οἰκίας καὶ τέλη
20 ὠνοῦνται παρὰ τῆς πόλεως. ὅπως γε μὴν τὰ ὠνηθέντα σῴζηται, τῷ δημοσίῳ ἔστι λαμβάνειν ἐγγύους παρὰ τῶν μισθουμένων, ὥσπερ καὶ παρὰ τῶν ὠνουμένων τὰ τέλη. ἀλλὰ μὴν καὶ ἀδικῆσαί γε ῥᾷον τῷ
21 τέλος πριαμένῳ ἢ τῷ ἀνδράποδα μισθουμένῳ. ἀργύριον μὲν γὰρ πῶς καὶ φωράσειεν ἄν τις τὸ δημόσιον ἐξαγόμενον, ὁμοίου τοῦ ἰδίου ὄντος αὐτῷ; ἀνδράποδα δὲ σεσημασμένα τῷ δημοσίῳ σημάντρῳ καὶ προκειμένης ζημίας τῷ τε πωλοῦντι καὶ τῷ ἐξάγοντι, πῶς ἄν τις ταῦτα κλέψειεν; οὐκοῦν μέχρι μὲν τούτου δυνατὸν φαίνεται τῇ πόλει εἶναι τὸ ἀνθρώπους καὶ
22 κτήσασθαι καὶ φυλάξαι. εἰ δ' αὖ τις τοῦτ' ἐνθυμεῖται, πῶς ἐπειδὰν πολλοὶ ἐργάται γένωνται, πολλοὶ φανοῦνται καὶ οἱ μισθωσόμενοι, ἐκεῖνο κατανοήσας θαρσείτω ὅτι πολλοὶ μὲν τῶν κατεσκευασμένων προσμισθώσονται τοὺς δημοσίους· πολλὰ γάρ ἐστι τὰ ὑπάρχοντα, πολλοὶ δ' εἰσὶ καὶ αὐτῶν τῶν ἐν τοῖς ἔργοις γηράσκοντες· πολλοὶ δὲ καὶ ἄλλοι καὶ Ἀθηναῖοι καὶ ξένοι [οἳ] τῷ σώματι μὲν οὔτε βούλοιντ' ἂν οὔτε δύναιντ' ἂν ἐργάζεσθαι, τῇ δὲ γνώμῃ ἐπιμελούμενοι ἡδέως ἂν ταπιτήδεια πορίζοιντο. ἤν γε μέντοι
23 τὸ πρῶτον συστῇ διακόσια καὶ χίλια ἀνδράποδα, εἰκὸς ἤδη ἀπ' αὐτῆς τῆς προσόδου ἐν ἔτεσι πέντε ἢ ἓξ μὴ μεῖον ἂν τῶν ἑξακισχιλίων γενέσθαι. ἀπό γε μὴν τούτου τοῦ ἀριθμοῦ ἦν ὀβολὸν ἕκαστος ἀτελῆ τῆς ἡμέρας προσφέρῃ, ἡ μὲν πρόσοδος ἑξήκοντα

1 τῶν ἰδ. Schanz: τοῦ ἰδιώτου | 9 ὄντος, Herw. | 11 προκειμ. Bloomfield: προσκειμ. | 13 φαίνεται C.: φανεῖται | τὸ Löw.: τε | 15 πῶς C.: ὡς | 16 μισθωσόμ. Steph.: μισθωσάμ. | 20 γηράσκοντες Dind.: γηρασκόντων | 21 οἳ del. Z. | 26 ἂν τῶν Wilam.: αὐτῇ | 28 προσφέρῃ C.: φέρῃ.

τάλαντα τοῦ ἐνιαυτοῦ. ἀπὸ δὲ τούτων ἦν εἰς ἄλλα 24
ἀνδράποδα τιθῆται εἴκοσι, τοῖς τετταράκοντα ἤδη
ἐξέσται τῇ πόλει χρῆσθαι εἰς ἄλλο ὅ, τι ἂν δέῃ. ὅταν
δέ γε μύρια ἀναπληρωθῇ, ἑκατὸν τάλαντα ἡ πρόσο-
δος ἔσται. ὅτι δὲ δέξεται πολλαπλάσια τούτων μαρ- 25
τυρήσειαν ἄν μοι εἴ τινες ἔτι εἰσὶ τῶν μεμνημένων,
ὅσον τὸ τέλος ηὕρισκε τῶν ἀνδραπόδων πρὸ τῶν ἐν
Δεκελείᾳ. μαρτυρεῖ δὲ κἀκεῖνο, ὅτι εἰργασμένων ἀν-
θρώπων ἐν τοῖς ἀργυρείοις ἐν τῷ παντὶ χρόνῳ ἀνα-
ριθμήτων νῦν οὐδὲν διαφέρει τἀργύρεια ἢ οἷα οἱ
πρόγονοι ἡμῶν ὄντα ἐμνημόνευον αὐτά. καὶ τὰ νῦν 26
δὲ γιγνόμενα πάντα μαρτυρεῖ, ὅτι οὐκ ἄν ποτε πλείω
ἀνδράποδα ἐκεῖ γένοιτο ἢ ὅσων ἂν τὰ ἔργα δέηται.
οὔτε γὰρ βάθους πέρας οὔτε ὑπονόμων οἱ ὀρύττον-
τες εὑρίσκουσι. καὶ μὴν καινοτομεῖν γε οὐδὲν ἧττον 27
ἔξεστι νῦν ἢ πρότερον. οὐ τοίνυν οὐδ' εἰπεῖν ἂν ἔχοι
εἰδὼς οὐδείς, πότερον ἐν τοῖς κατατετμημένοις πλεί-
ων ἀργυρῖτις ἢ ἐν τοῖς ἀτμήτοις ἐστί. τί δῆτα, φαίη 28
ἄν τις, οὐ καὶ νῦν, ὥσπερ ἔμπροσθεν, πολλοὶ καιν-
οτομοῦσιν; ὅτι πενέστεροι μὲν νῦν εἰσιν οἱ περὶ τὰ
μέταλλα· νεωστὶ γὰρ πάλιν κατασκευάζονται· κίνδυ-
νος δὲ μέγας τῷ καινοτομοῦντι. ὁ μὲν γὰρ εὑρὼν
ἀγαθὴν ἐργασίαν πλούσιος γίγνεται· ὁ δὲ μὴ εὑρὼν 29
πάντα ἀπόλλυσιν ὅσα ἂν δαπανήσῃ. εἰς τοῦτον οὖν
τὸν κίνδυνον οὐ μάλα πως ἐθέλουσιν οἱ νῦν ἰέναι.
ἐγὼ μέντοι ἔχειν μοι δοκῶ καὶ περὶ τούτου συμ- 30
βουλεῦσαι, ὡς ἂν ἀσφαλέστατα καινοτομοῖτο. εἰσὶ μὲν
γὰρ δήπου Ἀθηναίων δέκα φυλαί· εἰ δ' ἡ πόλις
δοίη ἑκάστῃ αὐτῶν ἴσα ἀνδράποδα, αἱ δὲ κοινωσά-
μεναι τὴν τύχην καινοτομοῖεν, οὕτως ἄν, εἰ μία εὕροι, 31
πάσαις ἂν λυσιτελὲς ἀποδείξειεν, εἰ δὲ δύο ἢ τρεῖς

---

10 *οἷα* Deventer: ᾗ | 14 *εὖρους* s. *μήκους* post *οὔτε* add. Herw.

ἢ τέτταρες ἢ αἱ ἡμίσειαι εὕροιεν, δῆλον ὅτι ἔτι λυσιτελέστερα ἂν τὰ ἔργα ταῦτα γίγνοιτο. τό γε μὴν
32 πάσας ἀποτυχεῖν οὐδενὶ τῶν παρεληλυθότων ἔοικεν. οἷόν τε δὴ οὕτω καὶ ἰδιώτας συνισταμένους καὶ κοινουμένους τὴν τύχην ἀσφαλέστερον κινδυνεύειν. μηδὲ μέντοι τοῦτο φοβεῖσθε, ὡς ἢ τὸ δημόσιον οὕτω κατασκευαζόμενον παραλυπήσει τοὺς ἰδιώτας ἢ οἱ ἰδιῶται τὸ δημόσιον· ἀλλ' ὥσπερ σύμμαχοι, ὅσῳ ἂν πλείους συνιῶσιν, ἰσχυροτέρους ἀλλήλους ποιοῦσιν, οὕτω καὶ ἐν τοῖς ἀργυρείοις ὅσῳπερ ἂν πλείους ἐργά-
ζωνται, τόσῳ πλείω τἀγαθὰ εὑρήσουσί τε καὶ ἐκφο-
φήσουσιν.

33 Καὶ ἐμοὶ μὲν δὴ εἴρηται, ὡς ἂν ἡγοῦμαι κατα-
σκευασθείσης τῆς πόλεως ἱκανὴν ἂν πᾶσιν Ἀθη-
34 ναίοις τροφὴν ἀπὸ κοινοῦ γενέσθαι. εἰ δέ τινες λο-
γιζόμενοι παμπόλλης ἂν δεῖν ἀφορμῆς εἰς ταῦτα
35 πάντα οὐχ ἡγοῦνται ἱκανὰ ἄν ποτε χρήματα εἰσε-
νεχθῆναι, μηδὲ οὕτως ἀθυμούντων. οὐ γὰρ οὕτως ἔχει ὡς ἀνάγκη ἅμα ταῦτα πάντα γίγνεσθαι, ἢ μη-
δὲν ὄφελος αὐτῶν εἶναι· ἀλλ' ὁπόσα ἂν ἢ οἰκοδο-
μηθῇ ἢ ναυπηγηθῇ ἢ ἀνδράποδα ὠνηθῇ, εὐθὺς
36 ταῦτα ἐν ὠφελείᾳ ἔσται. ἀλλὰ μὴν καὶ τῇδέ γε συμ-
φορώτερον τὸ κατὰ μέρος ἢ τὸ ἅμα πάντα πράττε-
σθαι. οἰκοδομοῦντές τε γὰρ ἀθρόοι πολυτελέστερον ἂν καὶ κάκιον ἢ κατὰ μέρος ἀποτελοῖμεν· ἀνδράποδα
37 δὲ παμπληθῆ ζητοῦντες ἀναγκαζοίμεθ' ἂν καὶ χείρω καὶ τιμιώτερα ὠνεῖσθαι. κατά γε μὴν τὸ δυνατὸν

---

1 ἔτι add. Heindorf | 3 ἔοικεν C.: ἐοικὸς | 4.5 καὶ κοιν. - τύχην susp. Wilam. | 6 μηδὲ Steph.: μηδὲν | φοβεῖσθε Steph.: φοβεῖσθαι | 11.12 ἐκφορήσουσιν C.: φορήσουσι | 19 ἢ add. ante ἅμα Kaibel | 25 κάκιον Steph.: κάλλιον | ἀποτελοῖμεν Steph.: ἀποτελοῖεν.

περαίνοντες τὰ μὲν καλῶς γνωσθέντα καὶ αὖθις ἂν ἡμῖν οἰόμεθα·* εἰ δέ τι ἁμαρτηθείη, ἀπεχοίμεδα ἂν αὐτοῦ. ἔτι δὲ πάντων ἅμα γιγνομένων ἡμᾶς ἂν ἅπαντα δέοι 38 ἐκπορίζεσθαι· εἰ δὲ τὰ μὲν περαίνοιτο, τὰ δὲ μέλλοι, ἡ ὑπάρξασα πρόσοδος τὸ ἐπιτήδειον συγκατασκευάζοι ἄν. ὃ δὲ ἴσως φοβερώτατον δοκεῖ πᾶσιν εἶναι, μή, 39 εἰ ἄγαν πολλὰ κτήσαιτο ἡ πόλις ἀνδράποδα, ὑπεργεμισθῇ [ἂν] τὰ ἔργα, καὶ τούτου τοῦ φόβου ἀπηλλαγμένοι ἂν εἶμεν, εἰ μὴ πλείους ἀνθρώπους ἢ ὅσους αὐτὰ τὰ ἔργα προσαιτοίη κατ' ἐνιαυτὸν ἐμβάλλοιμεν. 40 οὕτως ἔμοιγε δοκεῖ, ἥπερ ῥᾷστον, ταύτῃ καὶ ἄριστον εἶναι ταῦτα πράττειν. εἰ δ' αὖ διὰ τὰς ἐν τῷ νῦν πολέμῳ γεγενημένας εἰσφορὰς νομίζετ' ἂν μηδ' ὁτιοῦν δύνασθαι εἰσενεγκεῖν, ὑμεῖς δὲ ὅσα μὲν πρὸ τῆς εἰρήνης χρήματα ηὕρισκε τὰ τέλη, ἀπὸ τοσούτων καὶ τὸ ἐπιὸν ἔτος διοκεῖτε τὴν πόλιν· ὅσα δ' ἂν ἐφευρίσκῃ διὰ τὸ εἰρήνην τε εἶναι καὶ διὰ τὸ θεραπεύεσθαι μετοίκους καὶ ἐμπόρους καὶ διὰ τὸ πλειόνων ἀνθρώπων πλείω εἰσάγεσθαι καὶ ἐξάγεσθαι καὶ διὰ τὸ τὰ ἐλλιμένια καὶ τὰς ἀγορὰς αὐξάνεσθαι, ταῦτα λαμβάνοντες κατασκευάσασθε ὡς ἂν πλεῖσται πρόσοδοι γίγνοιντο. εἰ δέ τινες αὖ φοβοῦνται μὴ ματαία ἂν 41 γένοιτο αὕτη ἡ κατασκευή, εἰ πόλεμος ἐγερθείη, ἐννοησάτωσαν ὅτι τούτων γιγνομένων πολὺ φοβερώτερος ὁ πόλεμος τοῖς ἐπιφέρουσιν ἢ τῇ πόλει. τί γὰρ 42 δὴ εἰς πόλεμον κτῆμα χρησιμώτερον ἀνθρώπων; πολλὰς μὲν γὰρ ναῦς πληροῦν ἱκανοὶ ἂν εἶεν δημο-

---

1.2 *ἡμῖν οἰόμ.*] *ἀνύτοιμεν* Castalio *ἀμυνοίμεθα* P. qui *μὴ* add. antea *καλῶς* | 3 *ἅπαντα*] *ἅμα πάντα* Herw. | 5 post *ἡ* add. *ἀεὶ* Herw. | 8 *ἂν* del. Schneid. | 9 [*ἂν*] Schanz | 20 *τὰ* add. Bergk | *ἐλλιμένια* Bergk: *ἐν λιμένι* | 21 *κατασκ.* Löw.: *κατασκευάζεσθαι (-σθε)* | 21.22 *ὡς - γίγνοιντο*] *ὅσ' ἂν πλεῖστα ἐγγίγνηται* Z. | 23.24 *ἐννοησάτωσαν* P. *ἐννοησάντων* C.: *ἐννοησάτω.*

σίᾳ· πολλοὶ δ' ἂν καὶ πεζοὶ [δημοσίᾳ] δύναιντ' ἂν βαρεῖς εἶναι τοῖς πολεμίοις, εἴ τις αὐτοὺς θεραπεύοι.
43 Λογίζομαι δ' ἔγωγε καὶ πολέμου γιγνομένου οἷόν τ' εἶναι μὴ ἐκλείπεσθαι τἀργύρεια. ἔστι μὲν γὰρ δήπου περὶ τὰ μέταλλα ἐν τῇ πρὸς μεσημβρίαν [θαλάττῃ] τεῖχος ἐν Ἀναφλύστῳ, ἔστι δ' ἐν τῇ πρὸς ἄρκτον τεῖχος ἐν Θορικῷ· ἀπέχει δὲ ταῦτα ἀπ' ἀλ-
44 λήλων ἀμφὶ τὰ ἑξήκοντα στάδια. εἰ οὖν καὶ ἐν μέσῳ τούτων γένοιτο ἐπὶ τῷ ὑψηλοτάτῳ Βήσης τρίτον ἔρυμα, συνήκοι τ' ἂν τὰ ἔργα εἰς ἓν ἐξ ἁπάντων τῶν τειχῶν, καὶ εἴ τι αἰσθάνοιτο πολεμικόν, βραχὺ
45 ἂν εἴη ἑκάστῳ εἰς τὸ ἀσφαλὲς ἀποχωρῆσαι. εἰ δὲ καὶ ἔλθοιεν πλείους πολέμιοι, δῆλον ὅτι εἰ μὲν σῖτον ἢ οἶνον ἢ πρόβατα ἔξω εὕροιεν, ἀφέλοιντ' ἂν ταῦτα·
46 ἀργυρίτιδος δὲ κρατήσαντες τί ἂν μᾶλλον ἢ λίθοις ἔχοιεν χρῆσθαι; πῶς δὲ καὶ ὁρμήσειαν ἄν ποτε πολέμιοι πρὸς τὰ μέταλλα; ἀπέχει μὲν γὰρ δήπου τῶν ἀργυρείων ἡ ἐγγύτατα πόλις Μέγαρα πολὺ πλεῖον τῶν πεντακοσίων σταδίων· ἀπέχει δὲ ἡ μετὰ ταῦτα
47 πλησιαίτατα Θῆβαι πολὺ πλεῖον τῶν ἑξακοσίων. ἦν οὖν πορεύωνται ἐντεῦθέν ποθεν ἐπὶ τἀργύρεια, παριέναι αὐτοὺς δεήσει τὴν πόλιν· κἂν μὲν ὦσιν ὀλίγοι, εἰκὸς αὐτοὺς ἀπόλλυσθαι καὶ ὑπὸ ἱππέων καὶ ὑπὸ περιπόλων. πολλῇ γε μὴν δυνάμει πορεύεσθαι ἐξερημοῦντας τὰ ἑαυτῶν χαλεπόν· πολὺ γὰρ ἐγγύτερον ἂν εἴη ταῖς πόλεσιν αὐτῶν τὸ τῶν Ἀθηναίων ἄστυ
48 ἢ αὐτοὶ [οἱ] πρὸς τοῖς μετάλλοις ὄντες. εἰ δὲ καὶ ἔλθοιεν, πῶς ἂν καὶ δύναιντο μένειν μὴ ἔχοντες τἀπιτήδεια; ἐπισιτίζεσθαί γε μὴν μέρει μὲν κίνδυνος

1 *δημοσίᾳ* del. Wilam. | 5 *ἐν*] *ἐπὶ* Herw. | 5.6 *θαλάττῃ* del. Bergk | 6 *Ἀναφλύστῳ* Brodaeus: *ἀναφαύστῳ* | *ἐν τῇ*] *ἐπὶ τῇ* Herw. | 16 *ἂν* add. Dind. | 18 *ἢ* add. Schneid. | 27 *οἱ* del. Weisk.

καὶ περὶ τῶν μετιόντων καὶ περὶ ὧν ἀγωνίζονται· πάντες δὲ ἀεὶ μετιόντες πολιορκοῖντ' ἂν μᾶλλον ἢ 49
πολιορκοῖεν. οὐ τοίνυν μόνον ἡ ἀπὸ τῶν ἀνδραπόδων προσφορὰ τὴν διατροφὴν τῇ πόλει αὔξοι ἄν,
ἀλλὰ πολυανθρωπίας περὶ τὰ μέταλλα ἀθροιζομένης καὶ ἀπ' ἀγορᾶς τῆς ἐν Σουνίῳ καὶ ἀπ' οἰκιῶν περὶ τἀργύρεια δημοσίων καὶ ἀπὸ καμίνων καὶ ἀπὸ τῶν ἄλλων ἁπάντων πρόσοδοι ἂν πολλαὶ γίγνοιντο. ἰσχυ- 50
ρῶς γὰρ ἂν αὕτη πολυάνθρωπος γένοιτο πόλις, εἰ οὕτω κατασκευασθείη· καὶ οἵ γε χῶροι οὐδὲν ἂν εἶεν μείονος ἄξιοι τοῖς κεκτημένοις ἐνταῦθα ἢ τοῖς περὶ τὸ ἄστυ. πραχθέντων γε μὴν ὧν εἴρηκα σύμφημι ἐγὼ 51
οὐ μόνον ἂν χρήμασιν εὐπορωτέραν τὴν πόλιν εἶναι, ἀλλὰ καὶ εὐπειθεστέραν καὶ εὐτακτοτέραν καὶ εὐπολεμωτέραν γενέσθαι. οἵ τε γὰρ ταχθέντες γυμνάζεσθαι 52
πολὺ ἂν ἐπιμελέστερον πράττοιεν τὰ ἐν τοῖς γυμνασίοις, τὴν τροφὴν ἀπολαμβάνοντες πλείω [ἢ] ἐν ταῖς λαμπάσι γυμνασιαρχούμενοι· οἵ τε φρουρεῖν ἐν τοῖς φρουρίοις οἵ τε πελτάζειν καὶ περιπολεῖν τὴν χώραν πάντα
ταῦτα μᾶλλον ἂν πράττοιεν, ἐφ' ἑκάστοις τῶν ἔργων τῆς τροφῆς ἀποδιδομένης.

Εἰ δὲ σαφὲς δοκεῖ εἶναι ὡς, εἰ μέλλουσι πᾶσαι αἱ V
πρόσοδοι ἔκπλεῳ προσιέναι, [ὅτι] εἰρήνην δεῖ ὑπάρχειν, ἆρ' οὐκ ἄξιον καὶ εἰρηνοφύλακας καθιστάναι;
πολὺ γὰρ ἂν καὶ αὕτη αἱρεθεῖσα ἡ ἀρχὴ προσφιλεστέραν καὶ πυκνοτέραν εἰσαφικνεῖσθαι πᾶσιν ἀνθρώ- 2
ποις ποιήσειε τὴν πόλιν. εἰ δέ τινες οὕτω γιγνώσκουσιν, ὡς ἐὰν ἡ πόλις εἰρήνην ἄγουσα διατελῇ,

1 *περὶ ὧν ἀγ.* susp. Z. | 4 *προσφορὰ* Z.: *εἰσφορὰ* | 6 *ἐν Σουνίῳ* Wilam.: *ἐκείνου αὖ* | 6.7 *περὶ τἀργ.* susp. Wilam. | 9 *ἂν* Wilam.: *καὶ* | 16 *τὰ* add. Löw. | 17 *ἢ* del. Z. | 23 *ἔκπλεῳ* C.: *ἐκ πόλεως* | *ὅτι* del. Saupp.

ἀδυνατωτέρα τε καὶ ἀδοξοτέρα καὶ ἧττον ὀνομαστὴ
ἐν τῇ Ἑλλάδι ἔσται, καὶ οὗτοί γε οὐκ ὀρθῶς παρά
γ' ἐμῇ δόξῃ σκοποῦσιν. εὐδαιμονέσταται μὲν γὰρ
δήπου πόλεις λέγονται, αἳ ἂν πλεῖστον χρόνον ἐν
εἰρήνῃ διατελῶσι· πασῶν δὲ πόλεων Ἀθῆναι μάλιστα
3 πεφύκασιν ἐν εἰρήνῃ αὔξεσθαι. τίνες γὰρ ἡσυχίαν
ἀγούσης τῆς πόλεως οὐ προσδέοιντ' ἂν αὐτῆς ἀρξά-
μενοι ἀπὸ ναυκλήρων καὶ ἐμπόρων; οὐχ οἱ πολύ-
σιτοι, οὐχ οἱ πολύοινοι [, οὐχ οἱ ἡδύοινοι], τί δὲ οἱ
πολυέλαιοι, τί δὲ οἱ πολυπρόβατοι, οἱ δὲ γνώμῃ καὶ
4 ἀπ' ἀργυρίου δυνάμενοι χρηματίζεσθαι, καὶ μὴν
χειροτέχναι τε καὶ σοφισταὶ καὶ φιλόσοφοι, οἱ δὲ
ποιηταί, οἱ δὲ τὰ τούτων μεταχειριζόμενοι, οἱ δὲ
ἀξιοθεάτων ἢ ἀξιακούστων ἱερῶν ἢ ὁσίων ἐπιθυμοῦν-
τες, ἀλλὰ μὴν καὶ οἱ δεόμενοι πολλὰ ταχὺ ἀποδίδο-
σθαι ἢ πρίασθαι, ποῦ τούτων μᾶλλον ἂν τύχοιεν ἢ
5 Ἀθήνησιν; εἰ δὲ πρὸς ταῦτα μὲν οὐδεὶς ἀντιλέγει,
τὴν δὲ ἡγεμονίαν βουλόμενοί τινες ἀναλαβεῖν τῇ πόλει,
ταύτην διὰ πολέμου μᾶλλον ἢ δι' εἰρήνης ἡγοῦνται
ἂν καταπραχθῆναι, ἐννοησάτωσαν πρῶτον μὲν τὰ
Μηδικά, πότερον βιαζόμενοι ἢ εὐεργετοῦντες τοὺς
Ἕλληνας ἡγεμονίας τε τοῦ ναυτικοῦ καὶ ἑλληνοταμείας
6 ἐτύχομεν. ἔτι δὲ ἐπεὶ ὠμῶς ἄγαν δόξασα προστατεύ-
ειν ἡ πόλις ἐστερήθη τῆς ἀρχῆς, οὐ καὶ τότε, ἐπεὶ
τοῦ ἀδικεῖν ἀπεσχόμεθα, πάλιν ὑπὸ τῶν νησιωτῶν
7 ἑκόντων προστάται τοῦ ναυτικοῦ ἐγενόμεθα; οὐκοῦν
καὶ Θηβαῖοι εὐεργετούμενοι ἡγεμονεύειν αὐτῶν ἔδω-
καν Ἀθηναίοις; ἀλλὰ μὴν καὶ Λακεδαιμόνιοι οὐ βια-

2.3 *οὐκ ὀρθῶς παρά γ' ἐμῇ δοξῃ* P.: *ὡς ἐμῇ δόξῃ παραγγέλλω* | 9 *οὐχ - ἡδύοινοι* del. Wilam. | 9 *οἱ δὲ*] *τί δὲ οἱ* Schneid. | 11 *ἀπ' ἀργυρίου* Z.: *ἀργυρίῳ* | 22 *ἑλληνοταμείας* Boeck: *ἑλληνοταμίας*.

σθέντες ὑφ' ἡμῶν ἀλλ' εὖ πάσχοντες ἐπέτρεψαν
['Αθηναίοις] περὶ τῆς ἡγεμονίας θέσθαι ὅπως βού-
λοιντο. νῦν δέ γε διὰ τὴν ἐν τῇ Ἑλλάδι ταραχὴν 8
παραπεπτωκέναι μοι δοκεῖ τῇ πόλει ὥστε καὶ ἄνευ
πόνων καὶ ἄνευ κινδύνων καὶ ἄνευ δαπάνης ἀνακτᾶσθαι
τοὺς Ἕλληνας. ἔστι μὲν γὰρ πειρᾶσθαι διαλλάττειν τὰς
πολεμούσας πρὸς ἀλλήλας πόλεις, ἔστι δὲ συναλλάτ- 9
τειν, εἴ τινες ἐν αὐταῖς στασιάζουσιν. εἰ δὲ καὶ ὅπως
τὸ ἐν Δελφοῖς ἱερὸν αὐτόνομον ὥσπερ πρόσθεν γένοι-
το, φανεροὶ εἴτε ἐπιμελούμενοι, μὴ συμπολεμοῦντες,
ἀλλὰ πρεσβεύοντες ἀνὰ τὴν Ἑλλάδα, ἐγὼ μὲν οὐδὲνᾶν
οἶμαι θαυμαστὸν εἶναι, εἰ καὶ πάντας τοὺς Ἕλληνας
ὁμογνώμονάς τε καὶ συνόρκους [καὶ συμμάχους]
λάβοιτε ἐπ' ἐκείνους, οἵτινες ἐκλιπόντων Φωκέων τὸ
ἱερὸν καταλαμβάνειν πειρῷντο. εἰ δὲ καὶ ὅπως ἀνὰ 10
πᾶσαν γῆν καὶ θάλατταν εἰρήνη ἔσται φανεροὶ εἴτε
ἐπιμελόμενοι, ἐγὼ μὲν οἶμαι πάντας ἂν εὔχεσθαι
μετὰ τὰς ἑαυτῶν πατρίδας Ἀθήνας μάλιστα σῴζεσθαι.
εἰ δέ τις αὖ εἰς χρήματα κερδαλεώτερον νομίζει εἶναι 11
τῇ πόλει πόλεμον ἢ εἰρήνην, ἐγὼ μὲν οὐκ οἶδα πῶς
ἂν ἄμεινον ταῦτα κριθείη ἢ εἴ τις τὰ προγεγενημένα
ἐπανασκοποίη τῇ πόλει πῶς ἀποβέβηκεν. εὑρήσει γὰρ 12
τό τε παλαιὸν ἐν εἰρήνῃ μὲν πάνυ πολλὰ χρήματα
εἰς τὴν πόλιν ἀνενεχθέντα· ἐν πολέμῳ δὲ πάντα
ταῦτα καταδαπανηθέντα· γνώσεται δὲ ἣν σκοπῇ,
καὶ ἐν τῷ νῦν χρόνῳ διὰ μὲν τὸν πόλεμον καὶ τῶν
προσόδων πολλὰς ἐκλιπούσας καὶ τὰς εἰσελθούσας
εἰς παντοδαπὰ [πολλὰ] καταδαπανηθείσας· ἐπεὶ δὲ
εἰρήνη κατὰ θάλατταν γεγένηται, ηὐξημένας τε τὰς

2 *'Αθηναίοις* del. Wilam. | 8 *δὲ* add. Dind. | 13 *καὶ συμμ.* del. C. | 14 *ἐπ' ἐκείνους* Castalio : *ἀπ' (ἐπ') ἐκείνου* | 15 *πειρῷντο* Nitsch : *ἐπειρῶντο* | 22 *ἐπανασκοπ.* C.: *ἔτι ἀνασκοπ.* | 28 *πολλὰ* del. Löw. *πολλὰς* Heiland *πάλιν* Wilam.

προσόδους, καὶ ταύταις ἐξὸν τοῖς πολίταις χρῆσθαι
13 ὅ, τι βούλονται. εἰ δέ τίς με ἐπερωτῴη· "ἦ καί, ἄν
τις ἀδικῇ τὴν πόλιν, λέγεις ὡς χρὴ καὶ πρὸς τοῦτον
εἰρήνην ἄγειν;„ οὐκ ἂν φαίην· ἀλλὰ μᾶλλον λέγω, ὅτι
πολὺ θᾶττον ἂν τιμωροίμεθα αὐτούς, εἰ μηδένα ὑπάρ- 5
χοιμεν ἀδικοῦντες· οὐδένα γὰρ ἂν ἔχοιεν σύμμαχον.
VI Ἀλλ' εἴ γε μὴν τῶν εἰρημένων ἀδύνατον μὲν μη-
δέν ἐστι μηδὲ χαλεπόν, πραττομένων δὲ αὐτῶν προσ-
φιλέστεροι μὲν τοῖς Ἕλλησι γενησόμεθα, ἀσφαλέστε-
ρον δὲ οἰκήσομεν, εὐκλεέστεροι δὲ ἐσόμεθα, καὶ ὁ 10
μὲν δῆμος τροφῆς εὐπορήσει, οἱ δὲ πλούσιοι τῆς εἰς
τὸν πόλεμον δαπάνης ἀπαλλαγήσονται, περιουσίας δὲ
πολλῆς γενομένης μεγαλοπρεπέστερον μὲν ἔτι ἢ νῦν
ἑορτὰς ἄξομεν, ἱερὰ δ' ἐπισκευάσομεν, τείχη δὲ καὶ
νεώρια ἀνορθώσομεν, ἱερεῦσι δὲ καὶ βουλῇ καὶ ἀρ- 15
χαῖς καὶ ἱππεῦσι τὰ πάτρια ἀποδώσομεν, πῶς οὐκ
ἄξιον ὡς τάχιστα τούτοις ἐγχειρεῖν, ἵνα ἔτι ἐφ' ἡμῶν
ἐπίδωμεν τὴν πόλιν μετ' ἀσφαλείας εὐδαιμονοῦσαν;
2 εἴ γε μὴν ταῦτα δόξειεν ὑμῖν πράττειν, συμβουλεύ-
σαιμ' ἂν ἔγωγε πέμψαντας καὶ εἰς Δωδώνην καὶ εἰς 20
Δελφοὺς ἐπερέσθαι τοὺς θεοὺς εἰ λῷον καὶ ἄμεινον
εἴη [ἂν] τῇ πόλει οὕτω κατασκευαζομένῃ καὶ αὐτίκα
3 καὶ εἰς τὸν ἔπειτα χρόνον. εἰ δὲ ταῦτα συναινοῖεν,
τότ' ἂν αὖ φαίην χρῆναι ἐπερωτᾶν, τίνας θεῶν
προσποιούμενοι ταῦτα κάλλιστα καὶ ἄριστα πράττοι- 25
μεν ἄν· οὓς δ' ἀνέλοιεν [θεούς], τούτοις εἰκὸς καλ-
λιερήσαντας ἄρχεσθαι τοῦ ἔργου. σὺν γὰρ θεῷ πρατ-
τομένων εἰκὸς καὶ τὰς πράξεις προϊέναι ἐπὶ τὸ λῷον
καὶ ἄμεινον ἀεὶ τῇ πόλει.

---

2 *βούλονται* Dind.: *βούλοιντο* | *ἦ* Schneid. *εἰ* | 3 *ἀδικῇ* Schneid.: *ἀδικοίη* | 5.6 *ὑπάρχ. ἀδικ.* C.: *παρέχοιμεν ἀδικοῦντας* | 22 *ἂν* del. Schneid. | 26 *θεούς* del. P. praeeunte Wilam.

ΙΠΠΑΡΧΙΚΟΣ.

Πρῶτον μὲν θύοντα χρὴ αἰτεῖσθαι θεοὺς ταῦτα 1
διδόναι καὶ νοεῖν καὶ λέγειν καὶ πράττειν ἀφ' ὧν
θεοῖς μὲν κεχαρισμενώτατα ἄρξαις ἄν, σαυτῷ δὲ καὶ
φίλοις καὶ τῇ πόλει προσφιλέστατα καὶ εὐκλεέστατα
καὶ πολυωφελέστατα. θεῶν δὲ ἵλεων ὄντων ἀναβιβα- 2
στέον μέν σοι ἱππέας καὶ ὅπως ἀναπληρῶται ὁ κατὰ
τὸν νόμον ἀριθμὸς καὶ ὅπως τὸ ὂν ἱππικὸν μὴ
μειῶται. εἰ δὲ μὴ προσαναβήσονται ἱππῆς, μείους ἀεὶ
ἔσονται· ἀνάγκη γὰρ τοὺς μὲν γήρᾳ ἀπαγορεύειν,
τοὺς δὲ καὶ ἄλλως ἐκλείπειν. πληρουμένου γε μὴν 3
τοῦ ἱππικοῦ ἐπιμελητέον μὲν ὅπως τρέφωνται οἱ ἵπποι
ὡς ἂν δύνωνται πόνους ὑποφέρειν· οἱ γὰρ ἧττους
τῶν πόνων οὔτε αἱρεῖν οὔτε ἀποφεύγειν δύναιντ' ἄν.
ἐπιμελητέον δὲ ὅπως εὔχρηστοι ὦσιν· οἱ γὰρ αὖ
ἀπειθεῖς τοῖς πολεμίοις μᾶλλον ἢ τοῖς φίλοις συμ-
μαχοῦσι. καὶ οἱ λακτίζοντες δὲ ἀναβεβαμένοι ἵπποι 4
ἐκποδὼν ποιητέοι· οἱ γὰρ τοιοῦτοι πολλάκις πλείω
κακὰ ἢ οἱ πολέμιοι ποιοῦσι. δεῖ δὲ καὶ τῶν ποδῶν
ἐπιμελεῖσθαι, ὅπως δύνωνται καὶ ἐν τραχείᾳ χώρᾳ
ἱππεύειν, εἰδότα ὅτι ὅπου ἂν ἀλγῶσιν ἐλαυνόμενοι, 5
ἐνταῦθα οὐ χρήσιμοί εἰσι. τῶν γε μὴν ἵππων ὑπαρ-
χόντων οἵων δεῖ τοὺς ἱππέας αὖ ἀσκητέον, πρῶτον
μὲν ὅπως ἐπὶ τοὺς ἵππους ἀναπηδᾶν δύνωνται· πολ-
λοῖς γὰρ ἤδη ἡ σωτηρία παρὰ τοῦτ' ἐγένετο· δεύτε-
ρον δὲ ὅπως ἐν παντοίοις χωρίοις ἱππάζεσθαι δυ-

νήσονται· καὶ γὰρ οἱ πόλεμοι ἄλλοτε ἐν ἀλλοίοις τόποις
6 γίγνονται. ὅταν δὲ ἤδη ἔποχοι ὦσι, δεῖ αὖ σκοπεῖν
ὅπως ἀκοντιοῦσί τε ὡς πλεῖστοι ἀπὸ τῶν ἵππων καὶ
τἆλλα δυνήσονται ποιεῖν ἃ δεῖ τοὺς ἱππικούς. μετὰ
ταῦτα ὁπλιστέον καὶ ἵππους καὶ ἱππέας ὡς αὐτοὶ μὲν
ἥκιστα τιτρώσκοιντ' ἄν, βλάπτειν δὲ τοὺς πολεμίους
7 μάλιστα δύναιντ' ἄν. ἐκ τούτων παρασκευαστέον ὅπως
εὐπειθεῖς οἱ ἄνδρες ὦσιν· ἄνευ γὰρ τούτου οὔθ' ἵπ-
πων ἀγαθῶν οὔθ' ἱππέων ἐπόχων οὔθ' ὅπλων κα-
λῶν ὄφελος οὐδέν. προστατεύειν μὲν οὖν τούτων
8 πάντων ὅπως καλῶς γίγνηται τὸν ἵππαρχον εἰκός
ἐστιν. ἐπεὶ δὲ καὶ ἡ πόλις χαλεπὸν ἡγησαμένη ταῦτα
πάντα τὸν ἵππαρχον μόνον ὄντα κατεργάζεσθαι προ-
σαιρεῖται μὲν αὐτῷ συνεργοὺς φυλάρχους, προσέταξε
δὲ τῇ βουλῇ συνεπιμελεῖσθαι τοῦ ἱππικοῦ, ἀγαθόν
μοι δοκεῖ εἶναι τοὺς μὲν φυλάρχους παρασκευάζειν
συνεπιθυμεῖν σοι τῶν καλῶν τῷ ἱππικῷ, ἐν δὲ τῇ
βουλῇ ἔχειν ῥήτορας ἐπιτηδείους, ὅπως λέγοντες φο-
βῶσί τε τοὺς ἱππέας (βελτίους γὰρ ἂν εἶεν φοβού-
μενοι), καταπραΰνωσί τε τὴν βουλήν, ἤν τι παρὰ
9 καιρὸν χαλεπαίνῃ. ταῦτα μὲν οὖν ὑπομνήματα ὧν δεῖ
σε ἐπιμελεῖσθαι· ὡς δ' ἂν ἕκαστα τούτων βέλτιστα
περαίνοιτο, τοῦτο δὴ πειράσομαι λέγειν.

Τοὺς μὲν τοίνυν ἱππέας δῆλον ὅτι καθιστάναι δεῖ
κατὰ τὸν νόμον τοὺς δυνατωτάτους καὶ χρήμασι καὶ
10 σώμασιν ἢ εἰσάγοντα εἰς δικαστήριον ἢ πείθοντα. ἐγὼ
δὲ οἶμαι εἰς μὲν τὸ δικαστήριον τούτους εἰσακτέον
εἶναι οὓς μὴ εἰσάγων διὰ κέρδος ἄν τις δοκοίη τοῦτο
ποιεῖν· καὶ γὰρ τοῖς ἧττον δυναμένοις εὐθὺς ἂν εἴη
11 ἀποστροφή, εἰ μὴ τοὺς δυνατωτάτους πρώτους ἀ-

1 ἀλλοίοις Cour.: ἄλλοις | 3 πλεῖστοι Cour.: πλεῖστον | 8 τούτου Löw.: τούτων | 19 γὰρ ἂν Cour.: ἄν B γὰρ cett.

ναγκάζοις. ἔστι δὲ καὶ οὓς ἄν μοι δοκεῖ τις νέους μὲν τὰ ἐν ἱππικῇ λαμπρὰ λέγων εἰς ἐπιθυμίαν καθιστάναι τοῦ ἱππεύειν, τοὺς δὲ κυρίους αὐτῶν ἧττον ἀντιτείνοντας ἔχειν, τάδε διδάσκων ὡς ἀναγκασθήσονται μὲν ἱπποτροφεῖν, ἢν μὴ ὑπὸ σοῦ, ὑπ' ἄλλου διὰ τὰ χρήματα· ἢν δ' ἐπὶ σοῦ ἀναβῶσιν, ὡς ἀποτρέψεις μὲν τοὺς παῖδας [αὐτῶν] τῶν πολυτελῶν τε καὶ μανικῶν ἱππωνιῶν, ἐπιμελήσει δὲ ὡς ἂν ταχὺ ἱππικοὶ γίγνοιντο· λέγοντα δὲ οὕτω καὶ ποιεῖν ταῦτα πειρατέον. τούς γε μὴν ὄντας ἱππέας ἡ βουλὴ ἄν μοι δοκεῖ προειποῦσα ὡς τὸ λοιπὸν δεήσει διπλάσια ἱππάζεσθαι καὶ ὡς τὸν μὴ δυνάμενον ἵππον ἀκολουθεῖν ἀποδοκιμάσει ἐπιτεῖναι ἀνατρέφειν τε ἄμεινον καὶ ἐπιμελεῖσθαι μᾶλλον τῶν ἵππων. καὶ τοὺς βιαίους δ' ἵππους ἀγαθόν μοι δοκεῖ εἶναι προρρηθῆναι ὅτι ἀποδοκιμασθήσονται. αὕτη γὰρ ἡ ἀπειλὴ πωλεύειν ἂν τοὺς τοιούτους μᾶλλον παρορμήσειε καὶ ἱππωνεῖν σωφρονέστερον. ἀγαθὸν δὲ καὶ τοὺς ἐν ταῖς ἱππασίαις λακτίζοντας ἵππους προρρηθῆναι ὅτι ἀποδοκιμασθήσονται· οὐδὲ γὰρ συντάττειν τοὺς τοιούτους δυνατόν, ἀλλ' ἀνάγκη, ἄν ποι ἐπὶ πολεμίους δέῃ ἐλαύνειν, ὑστάτους [ἂν] αὐτοὺς ἕπεσθαι, ὥστε διὰ τὴν τοῦ ἵππου κακουργίαν ἄχρηστος καὶ ὁ ἱππεὺς καθίσταται. ὡς δ' ἂν καὶ οἱ πόδες εἶεν τῷ ἵππῳ κράτιστοι, εἰ μέν τις ἄλλην ἔχει ῥᾴω καὶ εὐτελεστέραν ἄσκησιν, ἐκείνη ἔστω· εἰ δὲ μή, ἐγώ φημι χρῆναι πεῖραν ἔχων χύδην καταβαλόντα λίθους τῶν ἐκ τῆς ὁδοῦ ὅσον μναϊαίους καὶ πλεῖον καὶ μεῖον ἐν τούτοις τὸν ἵππον καὶ ψήχειν καὶ ἐνιστάναι ὅταν ἀπὸ τῆς φάτνης ἀποβῇ·

---

7 *αὐτῶν* del. Rühl | 12 *καὶ* add. Camerarius | 13 *ἀνατρέφειν* Rühl: *ἂν τρέφειν* | 16 *πωλεύειν* Rühl: *πωλεῖν* | 21 *ἄν* Diels: *κἄν* | 22 *ἂν* del. Dind. *δὴ* Richards | 24 *τῷ ἵππῳ* Cour.: *τῶν ἵππων*.

βαδίζων γὰρ ἐν τοῖς λίθοις οὔποτε ὁ ἵππος παύσεται οὔθ' ὅταν ψήχηται οὔθ' ὅταν μυωπίζηται. ὁ δὲ πειραθεὶς τά τε ἄλλα ἃ λέγω πιστεύσει καὶ στρογγύλους
17 τοὺς πόδας τοῦ ἵππου ὄψεται. ὁπότε γε μὴν οἱ ἵπποι εἰσὶν οἵους δεῖ, ὡς ἂν αὐτοὶ οἱ ἱππῆς ἄριστοι γίγνοιντο, τοῦτο διηγήσομαι. τὸ μὲν τοίνυν τοὺς νέους αὐτῶν ἀναπηδᾶν ἐπὶ τοὺς ἵππους πείθοιμεν ἂν αὐτοὺς μανθάνειν· τὸν διδάξοντα δὲ παρασχὼν ἐπαίνου δικαίως ἂν τυγχάνοις. τούς γε μὴν πρεσβυτέρους τὸν Περσικὸν τρόπον ἀναβάλλεσθαι ὑπ' ἄλλων προσεθί-
18 σας καὶ τούτους ὠφελήσαις ἄν. ὅπως γε μὴν ἐν παντοδαποῖς χωρίοις ἔποχοι οἱ ἱππῆς δυνήσονται εἶναι, τὸ μὲν πυκνὰ ἐξάγειν μὴ πολέμου ὄντος ἴσως ὀχληρόν· συγκαλέσαντα δὲ χρὴ τοὺς ἱππέας συμβουλεῦσαι αὐτοῖς μελετᾶν, καὶ ὅταν εἰς χώραν ἐλαύνωσι καὶ
19 ὅταν ἄλλοσέ ποι, ἐκβιβάζοντας τῶν ὁδῶν καὶ ταχὺ ἐλαύνοντας ἐν τόποις παντοδαποῖς. τοῦτο γὰρ ὠφελεῖ μὲν παραπλησίως τῷ ἐξάγειν, ὄχλον δ' οὐχ ὁμοίως παρέχει. ἐπιτήδειον δὲ ὑπομιμνήσκειν ὅτι καὶ ἡ πόλις ἀνέχεται δαπανῶσα εἰς τὸ ἱππικὸν ἐγγὺς τετταράκοντα τάλαντα τοῦ ἐνιαυτοῦ, ὡς ἦν πόλεμος γίγνηται, μὴ ζητεῖν δέῃ ἱππικόν, ἀλλ' ἐξ ἑτοίμου ἔχῃ παρεσκευασμένῳ χρῆσθαι. ταῦτα γὰρ ἐνθυμουμένους εἰκὸς καὶ τοὺς ἱππέας μᾶλλον ἂν ἀσκεῖν τὴν ἱππικήν, ὅπως ἦν πόλεμος ἐγείρηται, μὴ ἀμελετήτους ὄντας ἀγωνίζεσθαι δέῃ περί τε τῆς πόλεως καὶ περὶ εὐ-
20 κλείας καὶ περὶ τῆς ψυχῆς. ἀγαθὸν δὲ καὶ τοῦτο προειπεῖν τοῖς ἱππεῦσιν ὅτι ἐξάξεις καὶ σύ ποτε αὐτοὺς καὶ διὰ παντοίων χωρίων ἡγήσῃ, καὶ ἐν ταῖς μελέταις δὲ τῆς ἀνθιππασίας καλὸν ἐξάγειν ἄλλοτε εἰς ἄλλοιον
21 τόπον· καὶ γὰρ τοῖς ἱππεῦσι καὶ τοῖς ἵπποις βέλτιον.

---

7 *πείθομεν* Steph.: *πείθοιμεν* s. *πείθωμεν* | 24 *ἂν* add. Cer.

ἀκοντίζειν γε μὴν ἀπὸ τῶν ἵππων ὧδ' ἂν πλεῖστοί μοι δοκοῦσι μελετᾶν, εἰ τοῦτ' αὖ προείποις τοῖς φυλάρχοις ὅτι αὐτοὺς δεήσει ἡγουμένους τοῖς τῆς φυλῆς ἀκοντισταῖς ἐλαύνειν ἐπὶ τὸ ἀκόντιον. φιλοτιμοῖντο γὰρ ἄν, ᾗ τὸ εἰκός, ὡς πλείστους ἕκαστος ἀποδεῖξαι ἀκοντιστὰς τῇ πόλει. ἀλλὰ μὴν καὶ τοῦ καλῶς γε ὁπλισθῆναι τοὺς ἱππέας οἱ φύλαρχοι ἄν μοι δοκοῦσι μέγιστον συλλαμβάνειν, εἰ πεισθεῖεν ὅτι πολύ ἐστι πρὸς τῆς πόλεως εὐδοξότερον τῇ τῆς φυλῆς λαμπρότητι κεκοσμῆσθαι ἢ μόνον τῇ ἑαυτῶν στολῇ. εἰκὸς δὲ μὴ δυσπίστους εἶναι αὐτοὺς τὰ τοιαῦτα, οἵ γε φυλαρχεῖν ἐπεθύμησαν δόξης καὶ τιμῆς ὀρεγόμενοι. δυνατοὶ δ' εἰσὶ κατὰ τὰ ἐν τῷ νόμῳ ὁπλίσαι καὶ ἄνευ τοῦ αὐτοὶ δαπανᾶν, τῷ μισθῷ ἐπαναγκάζοντες κατὰ τὸν νόμον ὁπλίζεσθαι. εἷς γε μὴν τὸ εὐπειθεῖς εἶναι τοὺς ἀρχομένους μέγα μὲν τὸ καὶ λόγῳ διδάσκειν ὅσα ἀγαθὰ ἔνι ἐν τῷ πειθαρχεῖν, μέγα δὲ καὶ τὸ ἔργῳ [κατὰ τὸν νόμον] πλεονεκτεῖν μὲν ποιεῖν τοὺς εὐτάκτους, μειονεκτεῖν δὲ ἐν πᾶσι τοὺς ἀτακτοῦντας. ἰσχυροτάτη δέ μοι δοκεῖ εἶναι παρόρμησις τῶν φυλάρχων εἰς τὸ φιλοτιμεῖσθαι αὐτοὺς καλῶς παρεσκευασμένους ἕκαστον τῆς φυλῆς ἡγεῖσθαι, εἰ τοὺς ἀμφὶ σὲ προδρόμους κοσμήσαις μὲν ὅπλοις ὡς κάλλιστα, ἀκοντίζειν δὲ μελετᾶν ἐξαναγκάσαις ὡς μάλιστα, ἡγοῖο δὲ αὐτοῖς ἐπὶ τὸ ἀκόντιον αὐτὸς εὖ μάλα μεμελετηκώς. εἰ δὲ καὶ ἄθλά τις δύναιτο προτιθέναι ταῖς φυλαῖς πάντων ὁπόσα ἀγαθὰ νομίζουσιν ἀσκεῖσθαι ἐν ταῖς θέαις ὑπὸ τοῦ ἱππικοῦ, τοῦτο πάντας οἶμαι Ἀθηναίους γε μάλιστ' ἂν προτρέπειν εἰς φιλο-

---

10 ἑαυτῶν Castalio : ἑαυτοῦ | 18 κατὰ - νόμον del. Weisk. | 20 δὲ] δ' ἂν Cour. | 25 ἡγοῖο Schneid.: εἰσηγοῖο | 29 μάλιστ' ἂν C.: μάλιστα.

νεικίαν. δῆλον δὲ τοῦτο καὶ ἐν τοῖς χοροῖς ὡς μικρῶν ἄθλων ἕνεκα πολλοὶ μὲν πόνοι, μεγάλαι δὲ δαπάναι τελοῦνται. τοὺς μέντοι κριτὰς τοιούτους δεῖ εὑρίσκειν παρ' οἷς νικῶντες μάλιστ' ἂν ἀγάλλοιντο.

II Ἤν δὲ δή σοι ταῦτα πάντα ἐξησκημένοι ὦσιν οἱ ἱππῆς, δεῖ δήπου καὶ τάξιν τινὰ ἐπίστασθαι αὐτοὺς ἐξ ἧς καλλίστας μὲν θεοῖς πομπὰς πέμψουσι, κάλλιστα δὲ ἱππάσονται, ἄριστα δὲ μαχοῦνται, ἢν δέῃ, ῥᾷστα δὲ καὶ ἀταρακτότατα ὁδοὺς πορεύσονται καὶ διαβάσεις περάσουσιν. ἦ τοίνυν χρώμενοι τάξει δοκοῦσιν ἄν 2 μοι ταῦτα κάλλιστα διαπράττεσθαι, ταύτην νῦν ἤδη πειράσομαι δηλοῦν. οὐκοῦν ὑπὸ μὲν τῆς πόλεως ὑπάρχουσι διῃρημέναι φυλαὶ δέκα. τούτων δ' ἐγώ φημι χρῆναι πρῶτον μὲν δεκαδάρχους σὺν τῇ τῶν φυλάρχων ἑκάστων γνώμῃ καταστῆσαι ἐκ τῶν ἀκμαζόντων τε καὶ φιλοτιμοτάτων καλόν τι ποιεῖν καὶ ἀκούειν· καὶ τούτους μὲν πρωτοστάτας δεῖ εἶναι. 3 μετὰ δὲ τούτους ἴσους χρὴ τούτοις ἀριθμὸν ἐκ τῶν πρεσβυτάτων τε καὶ φρονιμωτάτων ἑλέσθαι οἵτινες τελευταῖοι τῶν δεκάδων ἔσονται. εἰ γὰρ δεῖ καὶ ἀπεικάσαι, οὕτω καὶ σίδηρος μάλιστα διατέμνει σίδηρον, ὅταν τό τε ἡγούμενον τοῦ τομέως ἐρρωμένον ᾖ καὶ 4 τὸ ἐπελαυνόμενον ἱκανόν. τούς γε μὴν ἐν μέσῳ τῶν πρώτων καὶ τῶν τελευταίων, εἰ οἱ δεκάδαρχοι ἐπιστάτας ἕλοιντο καὶ οἱ ἄλλοι ἐφέλοιντο, οὕτως εἰκὸς 5 ἑκάστῳ πιστότατον τὸν ἐπιστάτην εἶναι. τὸν μέντοι ἀφηγούμενον ἐκ παντὸς τρόπου δεῖ ἱκανὸν ἄνδρα καθιστάναι. ἀγαθὸς γὰρ ὤν, εἴτε ποτὲ δέοι ἐπὶ πολεμίους ἐλαύνειν, ἐγκελεύων ῥώμην ἂν ἐμβάλοι

---

13 φυλαὶ ί΄ P. δέκα φυλαὶ C. | 15 ἑκάστων Dind.: ἑκάστου | 17 πρωτοστάτας Morus: προστάτας | 24 εἰ Dind.: ἐπεὶ | 25 ἐφέλοιντο Schneid.: ἐφαιροῖντο B ἐφέποιντο cett.

τοῖς ἔμπροσθεν, εἴτ' αὖ καὶ ἀποχωρεῖν καιρὸς συμβαίνοι, φρονίμως ἀφηγούμενος μᾶλλον ἂν ὡς τὸ εἰκὸς σῴζοι τοὺς φυλέτας. οἱ μέντοι δεκάδαρχοι 6
ἄρτιοι ὄντες πλείω ἴσα μέρη παρέχοιεν ἂν διαιρεῖν
ἢ εἰ περιττοὶ εἶεν. αὕτη δέ μοι ἡ τάξις ἀρέσκει διὰ τάδε, ὅτι πρῶτον μὲν οἱ πρωτοστάται πάντες ἄρχοντες γίγνονται· οἱ δ' αὐτοὶ ἄνδρες ὅταν ἄρχωσι, μᾶλλόν πως οἴονται ἑαυτοῖς προσήκειν καλόν τι ποιεῖν ἢ ὅταν ἰδιῶται ὦσιν· ἔπειτα δὲ καὶ ὅταν
πρακτέον τι ᾖ, τὸ παραγγέλλειν μὴ ἰδιώταις ἀλλ' 7
ἄρχουσι πολὺ ἀνυτικώτερον. τεταγμένων γε μὴν οὕτω χρή, ὥσπερ καὶ τοῖς φυλάρχοις προαγορεύεται ἡ χώρα ὑπὸ τοῦ ἱππάρχου ἐν ᾗ ἑκάστῳ ἐλατέον, οὕτω καὶ τοῖς δεκαδάρχοις παρηγγέλθαι ὑπὸ τῶν
φυλάρχων ὅπῃ πορευτέον ἑκάστῳ. οὕτω γὰρ προειρημένων πολὺ εὐτακτοτέρως ἂν ἔχοι ἢ εἰ ὥσπερ ἐκ θεάτρου ὡς ἂν τύχωσιν ἀπιόντες λυποῖεν ἀλλήλους. 8
καὶ μάχεσθαι δὲ μᾶλλον ἐθέλουσιν οἵ τε πρῶτοι, ἤν τι ἐκ τοῦ πρόσθεν προσπίπτῃ, ὅταν εἰδῶσιν ὅτι αὕτη
ἡ χώρα αὐτῶν· καὶ οἱ τελευταῖοι, ἤν τι ὄπισθεν ἐπιφαίνηται, ἐπιστάμενοι ὅτι αἰσχρὸν λιπεῖν τὴν τάξιν. 9
ἄτακτοι δ' ὄντες ἀλλήλους μὲν ταράττουσι καὶ ἐν στεναῖς ὁδοῖς καὶ ἐν διαβάσεσι, τοῖς δὲ πολεμίοις οὐδεὶς ἑκὼν ἑαυτὸν τάττει μάχεσθαι. καὶ ταῦτα μὲν
δὴ πάντα ὑπάρχειν δεῖ ἐκπεπονημένα πᾶσι τοῖς ἱππεῦσιν, εἰ μέλλουσιν ἀπροφάσιστοι ἔσεσθαι συνεργοὶ τῷ ἡγουμένῳ.

Τῶνδέ γε μὴν αὐτῷ ἤδη μέλειν δεῖ τῷ ἱππάρχῳ· III
πρῶτον μὲν ὅπως καλλιερήσει τοῖς θεοῖς ὑπὲρ τοῦ ἱππικοῦ, ἔπειτα ὅπως τὰς πομπὰς ἐν ταῖς ἑορταῖς ἀξιο-

15 ὅπῃ Diels: ὅπως | 17 λυποῖεν Schneid.: λυπῶσιν | 19 ὅταν Dind.: οἷ ἂν.

θεάτους ποιήσει, ἔτι δὲ καὶ τἆλλα ὅσα ἐπιδεικνύναι δεῖ τῇ πόλει ὅπως ᾗ δυνατὸν κάλλιστα ἐπιδείξει, τά τε ἐν Ἀκαδημίᾳ καὶ τὰ ἐν Λυκείῳ καὶ τὰ Φαληροῖ καὶ τὰ ἐν τῷ ἱπποδρόμῳ. καὶ ταῦτα μὲν ἄλλα ὑπομνήματα· ὡς δὲ τούτων ἕκαστα κάλλιστ' ἂν πράττοιτο, νῦν αὐτὰ ταῦτα λέξω.

2 Τὰς μὲν οὖν πομπὰς οἶμαι ἂν καὶ τοῖς θεοῖς κεχαρισμενωτάτας καὶ τοῖς θεαταῖς εἶναι εἰ ὅσων ἱερὰ καὶ ἀγάλματα ἐν τῇ ἀγορᾷ ἐστι, ταῦτα, ἀρξάμενοι ἀπὸ τῶν Ἑρμῶν κύκλῳ, [περὶ τὴν ἀγορὰν καὶ τὰ ἱερὰ] περιελαύνοιεν τιμῶντες τοὺς θεούς. καὶ ἐν τοῖς Διονυσίοις δὲ οἱ χοροὶ προσεπιχαρίζονται ἄλλοις τε θεοῖς καὶ τοῖς δώδεκα χορεύοντες. ἐπειδὰν δὲ πάλιν πρὸς τοῖς Ἑρμαῖς γένωνται περιεληλακότες, ἐντεῦθεν καλόν μοι δοκεῖ εἶναι κατὰ φυλὰς εἰς τάχος ἀνιέναι τοὺς
3 ἵππους μέχρι τοῦ Ἐλευσινίου. οὐδὲ δόρατα μὴν παραλείψω ὡς ἥκιστα ἂν ἀλλήλοις ἐπαλλάττοιτο. δεῖ γὰρ μεταξὺ τοῖν ὦτοιν τοῦ ἵππου ἕκαστον σχεῖν, εἰ μέλλει φοβερά τε καὶ εὐκρινῆ ἔσεσθαι καὶ ἅμα πολλὰ φα-
4 νεῖσθαι. ἐπειδὰν δὲ τῆς εἰς τάχος διελάσεως λήξωσι, τὴν ἄλλην ἤδη καλὸν σχέδην εἰς τὰ ἱερά, ἥπερ καὶ πρόσθεν, διελαύνειν. καὶ οὕτως ὅσα ἔστιν ἐν ἵππῳ ἀναβεβαμένῳ πάντα ἐπιδεδειγμένα ἔσται καὶ τοῖς
5 θεοῖς καὶ τοῖς ἀνθρώποις. καὶ ὅτι μὲν ταῦτα οὐκ εἰθισμένοι ποιεῖν οἱ ἱππῆς εἰσιν οἶδα· γιγνώσκω δὲ ὅτι ἀγαθὰ καὶ καλὰ καὶ τοῖς θεαταῖς ἡδέα ἔσται. αἰσθάνομαι δὲ καὶ ἄλλα ἀγωνίσματα τοὺς ἱππέας κεκαινουργηκότας, ἐπειδὴ οἱ ἵππαρχοι ἱκανοὶ ἐγένοντο
6 πεῖσαι ἃ ἠβουλήθησαν. ὅταν γε μὴν πρὸ τοῦ ἀκοντισμοῦ ἐλαύνωσιν ἐν Λυκείῳ, καλὸν ἑκατέρας τὰς

8 post ὅσων add. θεῶν Herw. | 10 περὶ - ἱερὰ del. Wilam. | 18 ὦτοιν Castalio: νώτοιν.

πέντε φυλὰς ἐπὶ [τοῦ] μετώπου διελαύνειν, ὥσπερ εἰς μάχην ἡγουμένου τοῦ ἱππάρχου καὶ τῶν φυλάρχων, ἐν τοιαύτῃ τάξει ἀφ' ἧς πληρώσεται τοῦ δρόμου τὸ πλάτος. ἐπειδὰν δ' ὑπερβάλωσι τὸ κεφάλαιον 7
τοῦ ἀντιπροσώπου θεάτρου, χρήσιμον ἂν οἶμαι φανῆναι καὶ εἰ καθ' ὁπόσους μέτριον εἰς τὸ κάταντες δυναμένους ταχὺ ἐλαύνειν ἐπιδείξαις τοὺς ἱππέας. οὐ μέντοι ἀγνοῶ ὅτι, ἢν μὲν πιστεύωσι δυνήσεσθαι 8
ταχὺ ἐλαύνειν, πάνυ ἂν ἡδέως ἐπιδείξαιντο· ἢν δὲ ἀμελέτητοι ὦσιν, ὁρᾶν χρὴ ὅπως μὴ οἱ πολέμιοι αὐτοὺς τοῦτο ὁρᾶν ἀναγκάσουσιν.

Ἐν γε μὴν ταῖς δοκιμασίαις ἡ μὲν τάξις εἴρηται 9
μεθ' ἧς ἂν κάλλιστα ἱππάζοιντο. ἢν δὲ ὁ ἡγούμενος, ἥνπερ ἔχῃ δυνατὸν ἵππον, ἐν τῷ ἔξωθεν ἀεὶ στίχῳ περιφέρηται, οὕτως αὐτὸς μὲν ἀεὶ ταχὺ ἐλᾷ καὶ οἱ σὺν αὐτῷ ἔξωθεν γιγνόμενοι πάλιν αὖ ταχὺ ἐλῶσιν· ὥστε ἡ μὲν βουλὴ ἀεὶ τὸ ταχὺ ἐλαυνόμενον θεάσεται, οἱ δὲ ἵπποι οὐκ ἀπεροῦσιν ἐν μέρει ἀναπαυόμενοι. ὅταν γε μὴν ἐν τῷ ἱπποδρόμῳ ἡ ἐπίδειξις ᾖ, 10
καλὸν μὲν οὕτω πρῶτον τάξασθαι ὡς ἂν ἐπὶ μετώπου ἐμπλήσαντες ἵππων τὸν ἱππόδρομον ἐξελάσειαν τοὺς ἐκ τοῦ μέσου ἀνθρώπους. καλὸν δ', ἐπεὶ αἱ 11
φυλαὶ ἐν τῇ ἀνθιππασίᾳ φεύγουσί τε ἀλλήλας καὶ διώκουσι ταχέως, ὅταν οἱ ἵππαρχοι ἡγῶνται ταῖς πέντε φυλαῖς, ἑκατέρας διελαύνειν τὰς φυλὰς δι' ἀλλήλων. ταύτης γὰρ τῆς θέας τό τε ἀντιμετώπους προσελαύνειν ἀλλήλοις γοργόν, τό τε διελάσαντας τὸν ἱππόδρομον ἀντίους πάλιν στῆναι ἀλλήλοις σεμνόν, 12
καὶ τὸ ὑπὸ σάλπιγγος αὖ τὸ δεύτερον θᾶττον ἐπελαύνειν καλόν. στάντας δὲ ἤδη τὸ τρίτον αὖ ὑπὸ τῆς σάλπιγγος χρὴ τάχιστα ἀλλήλοις ἐπελαύνειν, καὶ

---

1 τοῦ del. Cour. | 29 ὑπὸ Cour. : ἀπὸ.

διελάσαντας εἰς κατάλυσιν ἤδη ἐπὶ φάλαγγος ἅπαντας καταστάντας, ὥσπερ εἰώθατε, πρὸς τὴν βουλὴν προσ-
13 ελαύνειν. ταῦτά μοι δοκεῖ πολεμικώτερά τε φαίνεσθαι ἂν καὶ καινότερα. τὸ δὲ βραδύτερον μὲν τῶν φυλάρχων ἐλαύνειν, τὸν δ' αὐτὸν τρόπον ἐκείνοις
14 ἱππεύειν, οὐκ ἄξιον ἱππαρχίας. ὅταν γε μὴν ἐν τῷ ἐπικρότῳ ἐν Ἀκαδημίᾳ ἱππεύειν δέῃ, ἔχω τάδε παραινέσαι· εἰς μὲν τὸ μὴ ἀποκρούεσθαί ποτε τῶν ἵππων, ὑπτίους ἀναπεπτωκότας ἐλαύνειν, εἰς δὲ τὸ μὴ πίπτειν, τοὺς ἵππους ὑπολαμβάνειν ἐν ταῖς [ἀνα]στροφαῖς. τὰ μέντοι ὀρθὰ ταχὺ ἐλαύνειν χρὴ· οὕτω γὰρ τὸ ἀσφαλὲς καὶ τὸ καλὸν θεάσεται ἡ βουλή.

IV Ἔν γε μὴν ταῖς πορείαις ἀεὶ δεῖ τὸν ἵππαρχον προνοεῖν ὅπως ἀναπαύῃ μὲν τῶν ἵππων τὰς ἕδρας, ἀναπαύῃ δὲ τοὺς ἱππέας τοῦ βαδίζειν, μέτριον μὲν ὀχοῦντα, μέτριον δὲ πεζοποροῦντα. τοῦ δὲ μετρίου ἐννοῶν οὐκ ἂν ἁμαρτάνοις· αὐτὸς γὰρ μέτρον ἕκα-
2 στος τοῦ μὴ λαθεῖν ὑπερπονοῦντας. ὅταν μέντοι ἀδήλου ὄντος εἰ πολεμίοις ἐντεύξῃ πορεύῃ ποι, κατὰ
3 μέρος χρὴ τὰς φυλὰς ἀναπαύειν. χαλεπὸν γὰρ εἰ πᾶσι καταβεβηκόσι πλησιάσειαν οἱ πολέμιοι. καὶ μέν γε διὰ στενῶν ὁδῶν ἐλαύνῃς, ἀπὸ παραγγέλσεως εἰς κέρας ἡγητέον· ἢν δὲ πλατείαις ἐπιτυγχάνῃς ὁδοῖς, ἀπὸ παραγγέλσεως αὖ πλατυντέον τῆς φυλῆς ἑκάστης τὸ μέτωπον· ὅταν γε μὴν εἰς πεδίον ἀφικνῆσθε, ἐπὶ φάλαγγος πάσας τὰς φυλάς. ἀγαθὸν γὰρ καὶ μελέτης ἕνεκα ταῦτα ποιεῖν, καὶ τοῦ[θ'] ἥδιον διαπερᾶν τὰς
4 ὁδοὺς ποικίλλοντας ἱππικαῖς τάξεσι τὰς πορείας. ὅταν μέντοι ἔξω τῶν ὁδῶν διὰ δυσχωριῶν ἐλαύνητε, μάλα

---

11 στροφαῖς Dind. : ἀναστροφαῖς | 19 ἄδηλον ὄν[τος] Herw. | 26 post φυλὰς add. ἀκτέον Zeune, κατασταέον Löw. | 27 καὶ τοῦ Richards τοῦ θ' Cer. : καὶ τοῦθ'.

χρήσιμον καὶ ἐν πολεμίᾳ καὶ ἐν φιλίᾳ προελαύνειν τῆς φυλῆς ἑκάστης τῶν ὑπηρετῶν οἵτινες, ἢν ἀπόροις νάπαις ἐντυγχάνωσι, παριόντες ἐπὶ τὰ εὔπορα δηλώσουσι τοῖς ἱππεῦσιν ᾗ χρὴ τὴν ἔλασιν ποιεῖσθαι, ὡς μὴ ὅλαι αἱ τάξεις πλανῶνται. ἢν δὲ δι' ἐπικινδύνων ἐλαύνητέ που, φρονίμου ἱππάρχου τὸ τῶν προόδων ἄλλους προόδους διερευνωμένους προηγεῖσθαι· τὸ γὰρ ὡς ἐκ πλείστου προαισθάνεσθαι πολεμίων χρήσιμον καὶ πρὸς τὸ ἐπιθέσθαι καὶ πρὸς τὸ φυλάξασθαι, καὶ τὸ ἀναμένειν δὲ ἐπὶ ταῖς διαβάσεσιν, ὡς μὴ καταπόπτωσι τοὺς ἵππους οἱ τελευταῖοι τὸν ἡγεμόνα διώκοντες. ἴσασι μὲν οὖν ταῦτα σχεδὸν ἅπαντες, καρτερεῖν δ' ἐπιμελούμενοι οὐ πολλοὶ ἐθέλουσι. 5

Προσήκει δὲ ἱππάρχῳ ἔτι ἐν εἰρήνῃ ἐπιμελῆσθαι 6 ὅπως ἐμπείρως ἕξει τῆς τε πολεμίας καὶ τῆς φιλίας χώρας· ἢν δ' ἄρα αὐτὸς ἀπείρως ἔχῃ, τῶν ἄλλων γε δεῖ τοὺς ἐπιστημονεστάτους ἑκάστων τόπων παραλαμβάνειν. πολὺ γὰρ διαφέρει ἡγούμενος ὁ εἰδὼς τὰς ὁδοὺς τοῦ μὴ εἰδότος, καὶ ἐπιβουλεύων δὲ πολεμίοις ὁ εἰδὼς τοὺς τόπους τοῦ μὴ εἰδότος πολὺ διαφέρει. καὶ κατασκόπων δὲ πρὶν πόλεμον εἶναι δεῖ 7 μεμεληκέναι ὅπως ἔσονται καὶ ἐκ πόλεων ἀμφοτέροις φιλίων καὶ ἐξ ἐμπόρων· πᾶσαι γὰρ αἱ πόλεις τοὺς εἰσάγοντάς τι ἀεὶ ὡς εὐμενεῖς δέχονται· καὶ ψευδα- 8 τόμολοι δ' ἔστιν ὅτε χρήσιμον. οὐ μέντοι τοῖς γε κατασκόποις δεῖ ποτε πιστεύοντα φυλακῆς ἀμελεῖν, ἀλλ' ἀεὶ οὕτω κατεσκευάσθαι χρή, ὥσπερ ἢν ἥξοντες εἰσηγγελμένοι ὦσιν οἱ πολέμιοι. καὶ γὰρ ἢν πάνυ πιστοὶ ὦσιν οἱ κατάσκοποι, χαλεπὸν ἐν καιρῷ ἐπαγ-

4 ἔλασιν Dind. : ἐλασίαν | 17 τῶν add. post ἑκάστων Herw. | 18 πολὺ Dind. : πάνυ | ἡγ. ὁ Dind. : ὁ ἡγ. | 22 μεμελ. Steph.: μεμελετηκέναι | 28 ἠγγελμένοι Herw.

9 γέλλειν· πολλὰ γὰρ ἐν πολέμῳ τὰ ἐμπόδια συμπίπτει. τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιντο μᾶλλον ἢ ὑπὸ κήρυκος ἢ ἀπὸ προγραφῆς. ἀγαθὸν οὖν καὶ πρὸς τὸ διὰ παραγγέλσεως ἐξάγειν τὸ δεκαδάρχους καθιστάναι, καὶπὶ τοῖς δεκαδάρχοις πεμπα-
10 δάρχους, ἵν' ὡς ἐλαχίστοις ἕκαστος παραγγέλλῃ· καὶ τὸ μέτωπον δὲ οὕτω μηκύνοιεν ἂν τῆς τάξεως ἀταράκτως οἱ πεμπάδαρχοι παράγοντες, ὁπότε τούτου καιρὸς εἴη. ὅταν γε μὴν προφυλάττειν δέῃ, ἐγὼ μὲν
11 ἀεὶ ἐπαινῶ τὰς κρυπτὰς σκοπάς τε καὶ φυλακάς· οὕτω γὰρ ἅμα μὲν τῶν φίλων φυλακαὶ γίγνονται, ἅμα δὲ τοῖς πολεμίοις ἐνέδραι κατασκευάζονται. καὶ αὐτοὶ μὲν δυσεπιβουλευτότεροί εἰσιν ἀφανεῖς ὄντες, τοῖς δὲ πολεμίοις φοβερώτεροι. τὸ γὰρ εἰδέναι μὲν
12 ὅτι εἰσί που φυλακαί, ὅπου δ' εἰσὶ καὶ ὁπόσοι μὴ εἰδέναι, τοῦτο θαρσεῖν μὲν κωλύει τοὺς πολεμίους, ὑποπτεύειν δὲ ἀναγκάζει πάντα τὰ χωρία· αἱ δὲ φανεραὶ φυλακαὶ δῆλα ἔχουσι καὶ τὰ δειλὰ καὶ τὰ εὐθαρσῆ. ἔτι δὲ τῷ μὲν κρυπτὰς ἔχοντι φυλακὰς ἐξέ-
σται μὲν φανεροῖς ὀλίγοις ἔμπροσθεν τῶν κρυπτῶν φυλάττοντα πειρᾶσθαι τοὺς πολεμίους εἰς ἐνέδρας ὑπάγειν. ἀγρευτικὸν δὲ καὶ ὄπισθεν τῶν κρυπτῶν
13 ἄλλοις φανεροῖς ἔστιν ὅτε φυλάττειν· καὶ τοῦτο γὰρ ἐξαπατητικὸν τῶν πολεμίων ὁμοίως τῷ πρόσθεν εἰρημένῳ. ἀλλὰ μὴν φρονίμου γε ἄρχοντος καὶ τὸ μήποτε κινδυνεύειν ἑκόντα, πλὴν ὅπου ἂν πρόδηλον
14 ᾖ ὅτι πλεῖον ἕξει τῶν πολεμίων· τὸ δὲ ὑπηρετεῖν τὰ ἥδιστα τοῖς πολεμίοις προδοσία τῶν συμμάχων δι-

---

6 *καὶπὶ* Diels : *καὶ* | 8 *οὕτω* Cour. : *ὅπως* | 10 *προφυλ.* Steph.: *προσφυλ.* | 11 *σκοπὰς* Dind. : *σκοπιὰς* | 16 *ὁπόσοι* Dind. : *ὁπόσαι* | 19 *παρέχουσι* Rühl | 21 *φανεροῖς* Löw. : *φανερῶς*.

καίως ἂν μᾶλλον ἢ ἀνδρεία κρίνοιτο. σῶφρον δὲ καὶ τὸ ἐκεῖσε ὁρμᾶν ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ, κἂν πρόσω ὄντα τυγχάνῃ. τὸ γὰρ σφόδρα πονῆ- 15
σαι ἀκινδυνότερον ἢ πρὸς τοὺς κρείττους ἀγωνίζε-
σθαι. ἢν δέ πῃ εἰς μέσον φιλίων τειχέων εἰσίωσιν οἱ πολέμιοι, κἂν πολὺ κρείττους ὄντες, καλὸν μὲν ἐντεῦθεν ἐπιχειρεῖν ὁποτέρωθι ἂν λελήθῃς παρών, καλὸν δὲ καὶ ἅμα ἀμφοτέρωθεν. ὅταν γὰρ οἱ ἕτεροι ἀποχωρῶσιν, οἱ ἐκ τοῦ ἐπὶ θάτερα ἐλαύνοντες ταράτ-
τοιεν μὲν ἂν τοὺς πολεμίους, σώζοιεν δ' ἂν τοὺς φίλους. καὶ τὸ μὲν διὰ κατασκόπων πειρᾶσθαι εἰδέναι 16
τὰ τῶν πολεμίων πάλαι εἴρηται ὡς ἀγαθόν ἐστιν· ἐγὼ δὲ πάντων ἄριστον νομίζω εἶναι τὸ αὐτὸν πειρᾶσθαι, ἢν ᾖ ποθεν ἐξ ἀσφαλοῦς, θεώμενον τοὺς
πολεμίους ἀθρεῖν ἤν τι ἁμαρτάνωσι. καὶ τὸ μὲν 17
κλαπῆναι δυνατὸν ὂν πέμπειν χρὴ τοὺς ἐπιτηδείους κλέψοντας, τὸ δ' ἁρπασθῆναι ἐγχωροῦν ἐφιέναι τοὺς ἁρπάσοντας. ἢν δὲ ἢ πορευομένων ποι τῶν πολεμίων ἀπαρτᾶταί τι ἀσθενέστερον τῆς αὐτοῦ δυνάμεως, ἢ
θαρσοῦν ἀποσκεδαννύηται, οὐδὲ τοῦτο χρὴ λανθάνειν· ἀεὶ μέντοι τῷ ἰσχυροτέρῳ τὸ ἀσθενέστερον θηρᾶν. 18
δυνατὸν δὲ προσέχοντι τὸν νοῦν ταῦτα καταμανθάνειν, ἐπεὶ καὶ τὰ βραχυγνωμονέστερα ἀνθρώπου θηρία οἵ τε ἴκτινοι δύνανται ὃ ἂν ἀφύλακτον ᾖ ἁφαρ-
πάσαντες εἰς τὸ εἰς τὸ ἀσφαλὲς ἀποχωρεῖν πρὶν ληφθῆναι καὶ οἱ λύκοι δὲ τά τε ἠρημωμένα φυλακῆς ἀγρεύουσι καὶ τὰ ἐν τοῖς δυσοράτοις κλέ- 19
πτουσι, κἂν μεταθέων γέ τις ἐπιγίγνηται κύων, ἢν μὲν ἧττων ᾖ, τούτῳ ἐπιτίθεται· ἢν δὲ κρείττων, ἀποσφάξας ὅ, τι ἂν ἔχῃ ἀποχωρεῖ. ὅταν δέ γε φυ-

16 ὂν add. Cer. | 19 αὐτοῦ Dind. | 21 τῷ add. Castalio | 26 ἠρημωμ. Herw. : ἐρημούμ.

λακῆς καταφρονήσωσι λύκοι, τάξαντες ἑαυτῶν τοὺς μὲν ἀπελάσαι τὴν φυλακήν, τοὺς δὲ ἁρπάζειν, οὕτω τἀπιτήδεια πορίζονται. θηρίων γε μὴν δυναμένων τὰ τοιαῦτα φρονίμως λήζεσθαι, πῶς οὐκ ἄνθρωπόν γε ὄντα εἰκὸς σοφώτερον τούτων φαίνεσθαι ἃ καὶ αὐτὰ τέχνῃ ὑπ' ἀνθρώπου ἁλίσκεται;

V Κἀκεῖνό γε μὴν εἰδέναι ἱππικοῦ ἀνδρός, ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι καὶ ἐξ ὁπόσου βραδεῖς ἂν ἵπποι ταχεῖς ἀποφύγοιεν. ἱππαρχικὸν δὲ καὶ χωρία γιγνώσκειν ἔνθα πεζοὶ κρείττους ἱππέων καὶ ἔνθα
2 πεζῶν κρείττους ἱππῆς. χρὴ δὲ μηχανητικὸν εἶναι καὶ τοῦ πολλοὺς μὲν φαίνεσθαι τοὺς ὀλίγους ἱππέας, πάλιν δ' ὀλίγους τοὺς πολλούς, καὶ τοῦ δοκεῖν παρόντα μὲν ἀπεῖναι, ἀπόντα δὲ παρεῖναι, καὶ τοῦ μὴ τὰ τῶν πολεμίων μόνον κλέπτειν ἐπίστασθαι, ἀλλὰ
3 καὶ τοὺς ἑαυτοῦ ἱππέας ἅμα κλέπτοντα ἐξ ἀπροσδοκήτου τοῖς πολεμίοις ἐπιτίθεσθαι. ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι, ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις ὡς μὴ ἐπίθωνται· ὅταν δ' ἐρρωμένα, θάρσος αὐτοῖς ἐμ-
4 ποιεῖν ὡς ἐγχειρῶσιν. οὕτω γὰρ αὐτὸς μὲν ἂν ἥκιστα κακῶς πάσχοις, τοὺς δὲ πολεμίους μάλιστ' ἂν ἁμαρτάνοντας λαμβάνοις. ὅπως δὲ μὴ προστάττειν δοκῶ ἀδύνατα, καὶ γράψω ὡς ἂν γίγνοιτο τὰ δοκοῦντα αὐτῶν χαλεπώτατα εἶναι. τὸ μὲν τοίνυν μὴ σφάλλεσθαι ἐγχειροῦντα διώκειν ἢ ἀποχωρεῖν ἐμπειρία ποιεῖ ἵππων
5 δυνάμεως. πῶς δ' ἂν ἐμπείρως ἔχοι; εἰ προσέχοι τὸν νοῦν ἐν ταῖς μετὰ φιλίας ἀνθιππασίαις οἷα ἀποβαίνουσιν ἐκ τῶν διώξεων τε καὶ φυγῶν. ὅταν μέντοι βούλῃ τοὺς ἱππέας πολλοὺς φαίνεσθαι, ἓν μὲν πρῶτον ὑπαρχέτω, ἥνπερ ἐγχωρῇ, μὴ ἐγγὺς τῶν πολεμίων ἐγχειρεῖν

24 καὶ γρ.] γράψω καὶ Löw.

ἐξαπατᾶν· καὶ γὰρ ἀσφαλέστερον τὸ πρόσω καὶ ἀπατητικώτερον. ἔπειτα δὲ χρὴ εἰδέναι ὅτι ἀθρόοι μὲν ἵπποι πολλοὶ φαίνονται διὰ τὸ μέγεθος τοῦ ζώου, διασπειρόμενοι δ' εὐαρίθμητοι γίγνονται. ἔτι δ' ἂν 6
πλεῖόν σοι τὸ ἱππικὸν τοῦ ὄντος φαίνοιτο, εἰ τοὺς ἱπποκόμους εἰς τοὺς ἱππέας ἐνισταίης μάλιστα μὲν δόρατα, εἰ δὲ μή, ὅμοια δόρασιν ἔχοντας, ἦν τε ἑστηκὸς ἐπιδεικνύῃς τὸ ἱππικὸν ἦν τε παράγῃς· ἀνάγκη γὰρ τὸν ὄγκον τῆς τάξεως οὕτω μείζω τε καὶ 7
πυκνότερον φαίνεσθαι. ἦν δ' αὖ τοὺς πολλοὺς ὀλίγους βούλῃ δοκεῖν εἶναι, ἦν μέν σοι χωρία ὑπάρχῃ οἷα συγκρύπτειν, δῆλον ὅτι τοὺς μὲν ἐν τῷ φανερῷ ἔχων, τοὺς δ' εἰς τὸ ἄδηλον ἀποκρύπτων, κλέπτοις ἂν τοὺς ἱππέας· ἦν δὲ πᾶν καταφανὲς ᾖ τὸ χωρίον,
δεκάδας χρὴ στοιχούσας ποιήσαντα διαλειπούσας παράγειν· καὶ τοὺς μὲν πρὸς τῶν πολεμίων ἱππέας ἑκάστης δεκάδος ὀρθὰ τὰ δόρατα ἔχειν, τοὺς δ' ἄλλους ταπεινὰ καὶ μὴ ὑπερφανῆ. φοβεῖν γε μὴν τοὺς 8
πολεμίους καὶ ψευδενέδρας οἷόν τε καὶ ψευδοβοηθείας καὶ ψευδαγγελίας ποιοῦντα. θαρσοῦσι δὲ μάλιστα πολέμιοι, ὅταν ὄντα τοῖς ἐναντίοις πράγματα καὶ 9
ἀσχολίας πυνθάνωνται. τούτων δὲ γεγραμμένων μηχανᾶσθαι αὐτὸν χρὴ πρὸς τὸ παρὸν ἀεὶ ἀπατᾶν· ὄντως γὰρ οὐδὲν κερδαλεώτερον ἀπάτης ἐν πολέμῳ· 10
ὁπότε γε καὶ οἱ παῖδες ὅταν παίζωσι ποσίνδα, δύνανται ἀπατᾶν προῖσχοντες ὥστε ὀλίγους τ' ἔχοντες πολλοὺς δοκεῖν ἔχειν καὶ πολλοὺς προέχοντες ὀλίγους φαίνεσθαι ἔχειν. πῶς οὐκ ἄνδρες γε τῷ ἐξαπατᾶν 11
προσέχοντες τὸν νοῦν δύναιντ' ἂν τοιαῦτα μηχανᾶ-

16 *πρὸς* Dind. : *πρὸ* | 21 *ὄντα* add. post *ὅταν* Madvig, post *πράγματα* Richards | 22 *εἶναι* add. post *πυνθάνωνται* Löw. | *δὲ μεμνημένον τῶν γεγραμμ.* Diels | 25 *ποσίνδα* Hermann : *ποσὶ δὲ ἃ* | 26 *τὼ χεῖρε* add. post *προίσχοντες* Schneid.

σθαι; καὶ ἐνθυμούμενος δ' ἂν τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα. ὧν ἕνεκα ἢ οὐκ ἐγχειρητέον ἄρχειν ἢ τοῦτο σὺν τῇ ἄλλῃ παρασκευῇ καὶ παρὰ θεῶν αἰτητέον δύνασθαι ποιεῖν καὶ αὐτῷ μηχανητέον.

12 οἷς δὲ θάλαττα πρόσεστιν, ἀπατητικὸν καὶ τὸ πλοῖα παρασκευαζόμενον πεζῇ τι πρᾶξαι καὶ τὸ πεζῇ προσποιούμενον ἐπιβουλεύειν κατὰ θάλατταν ἐπιχειρῆσαι.

13 ἱππαρχικὸν δὲ καὶ τὸ διδάσκειν τὴν πόλιν ὡς ἀσθενὲς τὸ πεζῶν ἔρημον ἱππικὸν πρὸς τὸ ἀμίππους πεζοὺς ἔχον. ἱππαρχικὸν δὲ καὶ τὸ λαβόντα πεζοὺς αὐτοῖς χρῆσθαι· ἔστι δὲ πεζοὺς οὐ μόνον ἐν τούτοις

14 ἀλλὰ καὶ ὄπισθεν ἱππέων ἀποκρύψασθαι· πολὺ γὰρ μείζων ὁ ἱππεὺς τοῦ πεζοῦ. ταῦτα δὲ πάντα ἐγὼ καὶ ὅσα πρὸς τούτοις τις μηχανήσεται ἢ βίᾳ ἢ τέχνῃ αἱρεῖν τοὺς ἐναντίους βουλόμενος σὺν τῷ θεῷ πράττειν συμβουλεύω, ἵνα καὶ τὴν τύχην συνεπαινῇ θεῶν

15 ἵλεων ὄντων. ἔστι δ' ὅτε πάνυ ἀπατητικὸν καὶ τὸ λίαν φυλακτικὸν προσποιήσασθαι εἶναι καὶ μηδαμῶς φιλοκίνδυνον· τοῦτο γὰρ τοὺς πολεμίους πολλάκις προάγεται ἀφυλακτοῦντας μᾶλλον ἁμαρτάνειν. ἢν δ' ἅπαξ δόξῃ τις φιλοκίνδυνος εἶναι, ἔξεστι καὶ ἡσυχίαν ἔχοντα, προσποιούμενον δὲ πράξειν τι, πράγματα τοῖς πολεμίοις παρέχειν.

VI Ἀλλὰ γὰρ οὐδὲν ἄν τις δύναιτο πλάσαι οἷον βούλεται, εἰ μὴ ἐξ ὧν γε πλάττοιτο παρεσκευασμένα εἴη ὡς πείθεσθαι τῇ τοῦ χειροτέχνου γνώμῃ· οὐδέ

---

5 *ποιεῖν. καὶ οὕτω μὲν μηχανητέον* Diels | *αὐτῷ* Löw. : *αὐτὸν* s. *αὐτό* | 8 *τι* Brodaeus : *τε* | 10 *ἀμίππους* Cour. : *ἀμ' ἵππους (-οις)* | 11 post *πεζοὺς* add. *εὖ* Richards | 12 *ἐν τούτοις*] *ἐντὸς* Herw. *ἐν τοῖς ἱππεῦσιν* Richards | 13 *ἱππέων* Dind. : *ἵππων* | 17 *ἡ τύχη* s. *ἡ νίκη* Cour. | 26 *οὕτω* add. post *πλάττοιτο* Herw.

γ' ἂν ἐξ ἀνδρῶν, εἰ μὴ σὺν θεῷ οὕτω παρεσκευασμένοι ἔσονται ὡς φιλικῶς τε ἔχειν πρὸς τὸν ἄρχοντα καὶ φρονιμώτερον σφῶν αὐτῶν ἡγεῖσθαι περὶ τῶν πρὸς τοὺς πολεμίους ἀγώνων. εὐνοϊκῶς μὲν οὖν 2 ἔχειν καὶ ἐκ τῶνδε εἰκὸς τοὺς ἀρχομένους, ὅταν φιλοφρόνως τε ἔχῃ πρὸς αὐτοὺς καὶ προνοῶν φαίνηται ὅπως τε σῖτον ἕξουσι καὶ ὅπως ἀσφαλῶς μὲν ἀποχωρήσουσι, πεφυλαγμένως δὲ ἀναπαύσονται. ἐν δὲ 3 ταῖς φρουραῖς χρὴ καὶ χιλοῦ καὶ σκηνῶν καὶ ὑδάτων καὶ φυλακῶν καὶ τῶν ἄλλων ἐπιτηδείων φανερὸν εἶναι ἐπιμελούμενον καὶ προνοοῦντά τε καὶ ἀγρυπνοῦντα ἕνεκα τῶν ἀρχομένων. καὶ ὅταν γε πλέον ἔχῃ 4 τι, τὸ μεταδοῦναι κερδαλέον τῷ προεστηκότι. ἥκιστα δ' ἂν καταφρονοῖεν ἄρχοντος, ὡς μὲν συνελόντι εἰπεῖν, εἰ ὁπόσα ἐκείνοις παραινοίη, αὐτὸς ταῦτα βέλτιον ἐκείνων φαίνοιτο ποιῶν. ἀρξάμενον οὖν δεῖ ἀπὸ τοῦ 5 ἀναβαίνειν ἐπὶ τοὺς ἵππους πάντα τὰ ἐν ἱππικῇ μελετᾶν, ὅπως ὁρῶσι τὸν ἄρχοντα δυνάμενον ἐπὶ τοῦ ἵππου καὶ τάφρους ἀσφαλῶς περᾶν καὶ τειχία ὑπερακρίζειν καὶ ἀπ' ὄχθων καταίρειν καὶ ἀκοντίζειν ἱκανῶς· πάντα γὰρ ταῦτα προκόπτει τι εἰς τὸ μὴ 6 καταφρονεῖσθαι. ἦν δὲ δὴ καὶ πράττειν γνῶσιν ἐπιστάμενόν τε καὶ δυνάμενον παρασκευάζειν ὡς ἂν πλέον ἔχοιεν τῶν πολεμίων, πρὸς δὲ τούτοις κἀκεῖνο λάβωσιν εἰς τὴν γνώμην ὡς οὔτ' ἂν εἰκῇ οὔτ' ἄνευ θεῶν οὔτε παρὰ τὰ ἱερὰ ἡγήσαιτ' ἂν ἐπὶ πολεμίους, πάντα ταῦτα πιθανωτέρους τῷ ἄρχοντι τοὺς ἀρχομένους ποιεῖ.

---

1 γ' ἄν Dind. : γὰρ ἂν | 3 ἡγεῖσθαι Steph. : ἡγήσονται | 10 φυλάκων Cour. φρυγάνων Madvig | 11 τε Schneid. : γε | 19 τειχία Brodaeus : τείχη | 20 καταθεῖν Herw. | 24 κἀκεῖνο Dind. : κἂν ἐκεῖνο.

VII *Παντὶ μὲν οὖν προσήκει ἄρχοντι φρονίμῳ εἶναι· πολὺ μέντοι τὸν Ἀθηναίων ἵππαρχον διαφέρειν δεῖ καὶ τῷ τοὺς θεοὺς θεραπεύειν καὶ τῷ πολεμικὸν εἶναι, ᾧ γε ὑπάρχουσι μὲν ὅμοροι ἀντίπαλοι ἱππῆς*
2 *τε παραπλήσιοι τὸ πλῆθος καὶ ὁπλῖται πολλοί. κἂν μὲν εἰς τὴν πολεμίαν ἐμβάλλειν ἐπιχειρῇ ἄνευ τῆς ἄλλης πόλεως, πρὸς ἀμφοτέρους τούτους μόνοις ἂν τοῖς ἱππεῦσι διακινδυνεύοι. ἢν δ' οἱ πολέμιοι εἰς τὴν Ἀθηναίων χώραν ἐμβάλωσι, πρῶτον μὲν οὐκ ἂν ἄλλως ἔλθοιεν εἰ μὴ σὺν ἄλλοις τε ἱππεῦσι πρὸς τοῖς ἑαυτῶν καὶ πρὸς τούτοις ὁπλίταις ὁπόσοις ἂν οἴωνται*
3 *πάντας Ἀθηναίους μὴ ἱκανοὺς εἶναι μάχεσθαι. πρὸς οὖν τοσούτους πολεμίους ἢν μὲν ἡ πόλις πᾶσα ἐπεξίῃ ἀρήξουσα τῇ χώρᾳ, ἐλπίδες καλαί. ἱππῆς τε γὰρ σὺν θεῷ ἀμείνους, ἢν τις αὐτῶν ἐπιμελῆται ὡς δεῖ, ὁπλῖταί τε οὐ μείους ἔσονται καὶ τὰ σώματα τοίνυν οὐ χείρω ἔχοντες καὶ τὰς ψυχὰς φιλοτιμότεροι, ἢν ὀρθῶς ἀσκηθῶσι σὺν θεῷ. καὶ μὴν ἐπί γε τοῖς προγόνοις οὐ μεῖον Ἀθη-*
4 *ναῖοι ἢ Βοιωτοὶ φρονοῦσιν. ἢν δὲ ἡ μὲν πόλις τρέπηται ἐπὶ τὰ ναυτικὰ καὶ ἀρκῇ αὐτῇ τὰ τείχη διασῴζειν, ὥσπερ καὶ ὁπότε Λακεδαιμόνιοι σὺν ἅπασι τοῖς Ἕλλησιν ἐνέβαλον, τοὺς δὲ ἱππέας ἀξιώσῃ τά τε ἐκτὸς τοῦ τείχους διασῴζειν καὶ αὐτοὺς μόνους διακινδυνεύειν πρὸς πάντας τοὺς ἐναντίους, ἐνταῦθα δὴ θεῶν μὲν οἶμαι πρῶτον συμμάχων ἰσχυρῶν δεῖ, ἔπειτα δὲ καὶ τὸν ἵππαρχον προσήκει ἀποτετελεσμένον ἄνδρα εἶναι. καὶ γὰρ φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πολὺ*
5 *πλείους καὶ τόλμης, ὁπότε καιρὸς παραπέσοι. δεῖ δέ, ὡς ἐμοὶ δοκεῖ, καὶ πονεῖν αὐτὸν ἱκανὸν εἶναι. πρὸς μὲν γὰρ τὸ παρὸν στράτευμα διακινδυνεύων, ᾧ μηδὲ ὅλη ἡ πόλις θέλοι ἀντικαθίστασθαι, δῆλον ὅτι πάσχοι*

22 ἀξιώσῃ Dind.: *ἀξιώσειεν*.

ἄν, ὅ,τι οἱ κρείττους βούλοιντο, ποιεῖν δὲ οὐδὲν ἂν
ἱκανὸς εἴη. εἰ δὲ φυλάττοι μὲν τὰ ἔξω τείχους το- 6
σούτοις ὅσοι σκοπεύειν τε τοὺς πολεμίους ἱκανοὶ
ἔσονται καὶ ἀναχωρίζειν εἰς τὸ ἀσφαλὲς τὰ δεόμενα
ὡς ἐκ πλείστου· (ἱκανοὶ δὲ καὶ προορᾶν οὐδὲν ἧτ-
τον οἱ ὀλίγοι τῶν πολλῶν καὶ φυλάττειν τοίνυν καὶ
ἀναχωρίζειν τὰ φίλια οὐκ ἀκαιρότεροι οἱ μήτε αὐτοῖς
μήτε τοῖς ἵπποις πιστεύοντες· ὁ γὰρ φόβος δεινὸς 7
δοκεῖ συμφύλαξ εἶναι·) τοὺς μὲν φύλακας ἐκ τούτων
ἄν τις ποιῶν ἴσως ὀρθῶς βουλεύοιτο· τοὺς δὲ πε-
ριττοὺς τῆς φυλακῆς εἰ μέν τις στρατιὰν ἔχειν ἡγήσεται, ὀλίγη αὐτῷ φανεῖται· τοῦ παντὸς γὰρ ἐνδεήσεται
ὥστε ἐκ τοῦ ἐμφανοῦς διακινδυνεύειν. ἢν δὲ ὡς
λῃσταῖς αὐτοῖς χρῆται, πάνυ ἂν ὡς τὸ εἰκὸς ἱκανὴν
τοῦτο πράττειν ἔχοι δύναμιν. δεῖ δέ, ὡς ἐμοὶ δοκεῖ, 8
τοὺς παρεσκευασμένους ἀεὶ ἔχοντα ὡς ποιεῖν τι μὴ
καταφανῆ ὄντα φυλάττειν, ἤν τι ἁμαρτάνῃ τὸ τῶν
πολεμίων στράτευμα. φιλοῦσι δέ πως στρατιῶται, 9
ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ πλείω ἁμαρτάνειν. ἢ
γὰρ ἐπὶ τἀπιτήδεια ἐπιμελείᾳ σκεδάννυνται ἢ πορευομένων ἀταξίᾳ οἱ μὲν προέρχονται, οἱ δ' ὑπολείπονται πλέον τοῦ καιροῦ. τὰ οὖν τοιαῦτα ἁμαρτήματα 10
οὐ χρὴ παριέναι ἀκόλαστα (εἰ δὲ μή, ὅλη ἡ χώρα
στρατόπεδον ἔσται) ἐκεῖνο καλῶς προνοοῦντα, καὶ
ποιήσαντα φθάσαι ἀποχωρήσαντα πρὶν τὸ πολὺ βοη-
θοῦν ἐπιγενέσθαι. πολλάκις δὲ πορευόμενον στράτευμα 11
καὶ εἰς ὁδοὺς ἔρχεται ἐν αἷς οὐδὲν πλεῖον οἱ πολλοὶ τῶν
ὀλίγων δύνανται. καὶ ἐν διαβάσεσί γε ἔστι τῷ προσέχοντι
τὸν νοῦν ἀσφαλῶς ἐφεπομένῳ ταμιεύσασθαι ὥστε

---

4 *ἀναχωρίζειν* Löw. : *ἀναχωρεῖν* | 7 *ἀκαιρότεροι* Löw. : *ἀκαιρότερον* | 9 *οὖν* add. post *μὲν* Herw. | 16 *τοὺς*] *αὐτοὺς* Cer. *ἑαυτοῦ* s. *ἱππέας* add. post *τοὺς* Weisk. *λῃστὰς* add. Hartman.

12 ὁπόσοις ἂν βούληται τῶν πολεμίων ἐπιτίθεσθαι. ἔστι δ' ὅτε καλὸν καὶ στρατοπεδευομένοις καὶ ἀριστῶσι καὶ δειπνοποιουμένοις ἐπιχειρεῖν, καὶ ἐκ κοίτης γε ἀνισταμένοις. ἐν πᾶσι γὰρ τούτοις ἄοπλοι στρατιῶται γίγνονται, μείονα μὲν χρόνον οἱ ὁπλῖται, πλείονα δὲ οἱ ἱππῆς.
13 σκοποῖς μέντοι καὶ προφυλακαῖς οὐδέποτε δεῖ παύεσθαι ἐπιβουλεύονται. οὗτοι γὰρ αὖ ὀλίγοι μὲν ἀεὶ
14 καθίστανται, πολὺ δὲ τοῦ ἰσχυροῦ ἐνίοτε ἀποστατοῦσιν. ὅταν δὲ τὰ τοιαῦτα ἤδη καλῶς φυλάττωνται οἱ πολέμιοι, καλόν ἐστι σὺν θεῷ λαθόντα ἐλθεῖν εἰς τὴν πολεμίαν μεμεληκότα πόσοι τε ἑκασταχοῦ καὶ ποῦ τῆς χώρας προφυλάττουσιν. οὐδεμία γὰρ οὕτω
15 καλὴ λεία ὡς αἱ φυλακαί, ἢν κρατηθῶσι. καὶ εὐεξαπάτητοι δ' εἰσὶν οἱ φύλακες· διώκουσι γὰρ ὅ,τι ἂν ὀλίγον ἴδωσι, νομίζοντες σφίσι τοῦτο προστετάχθαι. τὰς μέντοι ἀποχωρήσεις σκοπεῖν δεῖ ὅπως μὴ ἐναντίαι τοῖς βοηθοῦσιν ἔσονται.

VIII Τοὺς μέντοι μέλλοντας δυνήσεσθαι ἀσφαλῶς τὸ πολὺ κρεῖττον στράτευμα κακουργεῖν σαφῶς δεῖ τοσούτον διαφέρειν ὥστε αὐτοὺς μὲν ἀσκητὰς φαίνεσθαι τῶν πολεμικῶν ἐν ἱππικῇ ἔργων, τοὺς δὲ πολεμίους
2 ἰδιώτας. τοῦτο δ' ἂν εἴη πρῶτον μὲν εἰ οἱ λῄζεσθαι μέλλοντες ἐκπεπονημένοι εἶεν τῇ ἐλάσει, ὥστε δύνασθαι στρατιωτικοὺς πόνους ὑποφέρειν· οἱ γὰρ πρὸς ταῦτα ἀμελῶς ἔχοντες καὶ ἵπποι καὶ ἄνδρες εἰκότως
3 ἂν ὥσπερ γυναῖκες πρὸς ἄνδρας ἀγωνίζοιντο. οἱ δέ γε δεδιδαγμένοι τε καὶ εἰθισμένοι τάφρους διαπηδᾶν καὶ τειχία ὑπεραίρειν καὶ ἐπ' ὄχθους ἀνάλλεσθαι καὶ ἀφ' ὑψηλῶν ἀσφαλῶς κατιέναι καὶ τὰ κατάντη ταχὺ

---

11 *μεμεληκότα πόσοι* C. *μὴ ἠμεληκότα π.* Richards: *μεμεληκότως* (s. *-λητηκότως*) *οἱ* (s. *οἳ*) | 20 *αὐτοὺς* Cour.: *τοὺς* | 27 *διαπηδᾶν* Löw.: *τε πηδᾶν*.

ἐλαύνεσθαι, οὗτοι δ' αὖ τοσοῦτον διαφέροιεν ἂν τῶν ἀμελετήτων ταῦτα ὅσονπερ πτηνοὶ πεζῶν· οἱ δέ γε αὖ τοὺς πόδας ἐκπεπονημένοι τῶν ἀτριβάστων πρὸς τραχέα ὅσονπερ ὑγιεῖς χωλῶν· καὶ οἵ γε τῶν τόπων ἔμπειροι πρὸς τοὺς ἀπείρους τοσοῦτον ἐν ταῖς προελάσεσι καὶ ἀποχωρήσεσι διαφέροιεν ἂν ὅσονπερ οἱ ὁρῶντες τῶν τυφλῶν. καὶ τοῦτο δὲ χρὴ εἰδέναι ὅτι 4 οἱ εὐωχούμενοι ἵπποι, ἐκπεπονημένοι δὲ ὥστε μὴ ἀποπνίγεσθαι ἐν τοῖς πόνοις, εὖ παρεσκευασμένοι εἰσί. χρὴ δέ, ἐπείπερ χαλινοὶ καὶ ἐφίππια ἐξ ἱμάντων ἠρτημένα ἐστί [χρήσιμα], μήποτε τὸν ἵππαρχον τούτων ἔρημον εἶναι· μικρᾷ γὰρ δαπάνῃ τοὺς ἀποροῦντας χρησίμους ἂν παρέχοιτο.

Εἰ δέ τις νομίζει πολλὰ ἔχειν πράγματα, εἰ οὕτω 5 δεήσει ἀσκεῖν τὴν ἱππικήν, ἐνθυμηθήτω ὅτι οἱ εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀσκοῦντες πολὺ πλείω πράγματα καὶ χαλεπώτερα ἔχουσιν ἢ οἱ τὴν ἱππικὴν τὰ μάλιστα μελετῶντες. καὶ γὰρ τῶν μὲν γυμνικῶν ἀσκη- 6 μάτων τὰ πολλὰ σὺν ἱδρῶτι ἐκπονοῦνται, τῆς δὲ ἱππικῆς τὰ πλεῖστα μεθ' ἡδονῆς. ὅπερ γὰρ εὔξαιτ' ἄν 7 τις πτηνὸς γενέσθαι, οὐκ ἔστιν ὅ,τι μᾶλλον τῶν ἀνθρωπίνων ἔργων ἔοικεν αὐτῷ. καὶ μὴν τό γ' ἐν πολέμῳ νικᾶν πολλῷ εὐδοξότερον ἢ πυγμῇ· μετέχει μὲν γάρ τι καὶ ἡ πόλις ταύτης τῆς δόξης· ὡς δὲ τὰ πολλὰ ἐπὶ τῇ τοῦ πολέμου νίκῃ καὶ εὐδαιμονίᾳ οἱ θεοὶ τὰς πόλεις στεφανοῦσιν. ὥστ' οὐκ οἶδ' ἔγωγε τί προσήκει 8 ἄλλ' ἄττα μᾶλλον ἀσκεῖσθαι ἢ τὰ πολεμικά. ἐννοεῖν δὲ χρὴ ὅτι καὶ οἱ κατὰ θάλατταν λῃσταὶ διὰ τὸ πονεῖν ἠσκηκέναι δύνανται ζῆν καὶ ἀπὸ τῶν πολὺ

8 post. εὐωχ. add. μὲν Richards | μὴ, ante ἐκπεπ., post ὥστε transp. Toupius [ad Suid. s. v. εὐοχεῖται] | 11 χρήσιμα del. Cour. | 26 τί Weisk. : τίνα.

9 γέλλειν· πολλὰ γὰρ ἐν πολέμῳ τὰ ἐμπόδια συμπίπτει. τάς γε μὴν ἐξαγωγὰς τοῦ ἱππικοῦ ἧττον ἂν οἱ πολέμιοι αἰσθάνοιντο, εἰ ἀπὸ παραγγέλσεως γίγνοιντο μᾶλλον ἢ ὑπὸ κήρυκος ἢ ἀπὸ προγραφῆς. ἀγαθὸν οὖν καὶ πρὸς τὸ διὰ παραγγέλσεως ἐξάγειν τὸ δεκαδάρχους καθιστάναι, κἀπὶ τοῖς δεκαδάρχοις πεμπα-
10 δάρχους, ἵν' ὡς ἐλαχίστοις ἕκαστος παραγγέλλῃ· καὶ τὸ μέτωπον δὲ οὕτω μηκύνοιεν ἂν τῆς τάξεως ἀταράκτως οἱ πεμπάδαρχοι παράγοντες, ὁπότε τούτου καιρὸς εἴη. ὅταν γε μὴν προφυλάττειν δέῃ, ἐγὼ μὲν ἀεὶ ἐπαινῶ τὰς κρυπτὰς σκοπάς τε καὶ φυλακάς· οὕτω γὰρ ἅμα μὲν τῶν φίλων φυλακαὶ γίγνονται,
11 ἅμα δὲ τοῖς πολεμίοις ἐνέδραι κατασκευάζονται. καὶ αὐτοὶ μὲν δυσεπιβουλευτότεροί εἰσιν ἀφανεῖς ὄντες, τοῖς δὲ πολεμίοις φοβερώτεροι. τὸ γὰρ εἰδέναι μὲν ὅτι εἰσί που φυλακαί, ὅπου δ' εἰσὶ καὶ ὁπόσοι μὴ εἰδέναι, τοῦτο θαρσεῖν μὲν κωλύει τοὺς πολεμίους,
12 ὑποπτεύειν δὲ ἀναγκάζει πάντα τὰ χωρία· αἱ δὲ φανεραὶ φυλακαὶ δῆλα ἔχουσι καὶ τὰ δειλὰ καὶ τὰ εὐθαρσῆ. ἔτι δὲ τῷ μὲν κρυπτὰς ἔχοντι φυλακὰς ἐξέσται μὲν φανεροῖς ὀλίγοις ἔμπροσθεν τῶν κρυπτῶν φυλάττοντα πειρᾶσθαι τοὺς πολεμίους εἰς ἐνέδρας ὑπάγειν. ἀγρευτικὸν δὲ καὶ ὄπισθεν τῶν κρυπτῶν
13 ἄλλοις φανεροῖς ἔστιν ὅτε φυλάττειν· καὶ τοῦτο γὰρ ἐξαπατητικὸν τῶν πολεμίων ὁμοίως τῷ πρόσθεν εἰρημένῳ. ἀλλὰ μὴν φρονίμου γε ἄρχοντος καὶ τὸ μήποτε κινδυνεύειν ἑκόντα, πλὴν ὅπου ἂν πρόδηλον
14 ᾖ ὅτι πλεῖον ἕξει τῶν πολεμίων· τὸ δὲ ὑπηρετεῖν τὰ ἥδιστα τοῖς πολεμίοις προδοσία τῶν συμμάχων δι-

---

6 *κἀπὶ* Diels : *καὶ* | 8 *οὕτω* Cour. : *ὅπως* | 10 *προφυλ.* Steph.: *προσφυλ.* | 11 *σκοπὰς* Dind. : *σκοπιὰς* | 16 *ὁπόσοι* Dind. : *ὁπόσαι* | 19 *παρέχουσι* Rühl | 21 *φανεροῖς* Löw. : *φανερῶς*.

καίως ἂν μᾶλλον ἢ ἀνδρεία κρίνοιτο. σῶφρον δὲ καὶ τὸ ἐκεῖσε ὁρμᾶν ὅπου ἂν ἀσθενῆ τὰ τῶν πολεμίων ᾖ, κἂν πρόσω ὄντα τυγχάνῃ. τὸ γὰρ σφόδρα πονῆσαι ἀκινδυνότερον ἢ πρὸς τοὺς κρείττους ἀγωνίζεσθαι. ἢν δέ πῃ εἰς μέσον φιλίων τειχέων εἰσίωσιν οἱ πολέμιοι, κἂν πολὺ κρείττους ὄντες, καλὸν μὲν ἐντεῦθεν ἐπιχειρεῖν ὁποτέρωθι ἂν λελήθῃς παρών, καλὸν δὲ καὶ ἅμα ἀμφοτέρωθεν. ὅταν γὰρ οἱ ἕτεροι ἀποχωρῶσιν, οἱ ἐκ τοῦ ἐπὶ θάτερα ἐλαύνοντες ταράττοιεν μὲν ἂν τοὺς πολεμίους, σώζοιεν δ' ἂν τοὺς φίλους. καὶ τὸ μὲν διὰ κατασκόπων πειρᾶσθαι εἰδέναι τὰ τῶν πολεμίων πάλαι εἴρηται ὡς ἀγαθόν ἐστιν· ἐγὼ δὲ πάντων ἄριστον νομίζω εἶναι τὸ αὐτὸν πειρᾶσθαι, ἢν ᾖ ποθεν ἐξ ἀσφαλοῦς, θεώμενον τοὺς πολεμίους ἀθρεῖν ἤν τι ἁμαρτάνωσι. καὶ τὸ μὲν κλαπῆναι δυνατὸν ὂν πέμπειν χρὴ τοὺς ἐπιτηδείους κλέψοντας, τὸ δ' ἁρπασθῆναι ἐγχωροῦν ἐφιέναι τοὺς ἁρπάσοντας. ἢν δὲ ἢ πορευομένων ποι τῶν πολεμίων ἀπαρτᾶταί τι ἀσθενέστερον τῆς αὐτοῦ δυνάμεως, ἢ θαρσοῦν ἀποσκεδαννύηται, οὐδὲ τοῦτο χρὴ λανθάνειν· ἀεὶ μέντοι τῷ ἰσχυροτέρῳ τὸ ἀσθενέστερον θηρᾶν. δυνατὸν δὲ προσέχοντι τὸν νοῦν ταῦτα καταμανθάνειν, ἐπεὶ καὶ τὰ βραχυγνωμονέστερα ἀνθρώπου θηρία οἵ τε ἵκτινοι δύνανται ὃ ἂν ἀφύλακτον ᾖ ἁφαρπάσαντες εἰς τὸ εἰς τὸ ἀσφαλὲς ἀποχωρεῖν πρὶν ληφθῆναι καὶ οἱ λύκοι δὲ τά τε ἠρημωμένα φυλακῆς ἀγρεύουσι καὶ τὰ ἐν τοῖς δυσοράτοις κλέπτουσι, κἂν μεταθέων γέ τις ἐπιγίγνηται κύων, ἢν μὲν ἥττων ᾖ, τούτῳ ἐπιτίθεται· ἢν δὲ κρείττων, ἀποσφάξας ὅ, τι ἂν ἔχῃ ἀποχωρεῖ. ὅταν δέ γε φυ-

16 ὂν add. Cer. | 19 αὐτοῦ Dind. | 21 τῷ add. Castalio | 26 ἠρημωμ. Herw. : ἐρημούμ.

λακῆς καταφρονήσωσι λύκοι, τάξαντες ἑαυτῶν τοὺς μὲν ἀπελάσαι τὴν φυλακήν, τοὺς δὲ ἁρπάζειν, οὕτω τἀπιτήδεια πορίζονται. θηρίων γε μὴν δυναμένων τὰ τοιαῦτα φρονίμως λήζεσθαι, πῶς οὐκ ἄνθρωπόν γε ὄντα εἰκὸς σοφώτερον τούτων φαίνεσθαι ἃ καὶ αὐτὰ τέχνῃ ὑπ' ἀνθρώπου ἁλίσκεται;

V Κἀκεῖνό γε μὴν εἰδέναι ἱππικοῦ ἀνδρός, ἐκ πόσου ἂν ἵππος πεζὸν ἕλοι καὶ ἐξ ὁπόσου βραδεῖς ἂν ἵπποι ταχεῖς ἀποφύγοιεν. ἱππαρχικὸν δὲ καὶ χωρία γιγνώσκειν ἔνθα πεζοὶ κρείττους ἱππέων καὶ ἔνθα 2 πεζῶν κρείττους ἱππῆς. χρὴ δὲ μηχανητικὸν εἶναι καὶ τοῦ πολλοὺς μὲν φαίνεσθαι τοὺς ὀλίγους ἱππέας, πάλιν δ' ὀλίγους τοὺς πολλούς, καὶ τοῦ δοκεῖν παρόντα μὲν ἀπεῖναι, ἀπόντα δὲ παρεῖναι, καὶ τοῦ μὴ τὰ τῶν πολεμίων μόνον κλέπτειν ἐπίστασθαι, ἀλλὰ καὶ τοὺς ἑαυτοῦ ἱππέας ἅμα κλέπτοντα ἐξ ἀπροσδο- 3 κήτου τοῖς πολεμίοις ἐπιτίθεσθαι. ἀγαθὸν δὲ μηχάνημα καὶ τὸ δύνασθαι, ὅταν μὲν τὰ ἑαυτοῦ ἀσθενῶς ἔχῃ, φόβον παρασκευάζειν τοῖς πολεμίοις ὡς μὴ ἐπίθωνται· ὅταν δ' ἐρρωμένα, θάρσος αὐτοῖς ἐμ- 4 ποιεῖν ὡς ἐγχειρῶσιν. οὕτω γὰρ αὐτὸς μὲν ἂν ἥκιστα κακῶς πάσχοις, τοὺς δὲ πολεμίους μάλιστ' ἂν ἁμαρτάνοντας λαμβάνοις. ὅπως δὲ μὴ προστάττειν δοκῶ ἀδύνατα, καὶ γράψω ὡς ἂν γίγνοιτο τὰ δοκοῦντα αὐτῶν χαλεπώτατα εἶναι. τὸ μὲν τοίνυν μὴ σφάλλεσθαι ἐγχει- 5 ροῦντα διώκειν ἢ ἀποχωρεῖν ἐμπειρία ποιεῖ ἵππων δυνάμεως. πῶς δ' ἂν ἐμπείρως ἔχοι; εἰ προσέχοι τὸν νοῦν ἐν ταῖς μετὰ φιλίας ἀνθιππασίαις οἷα ἀποβαίνουσιν ἐκ τῶν διώξεων τε καὶ φυγῶν. ὅταν μέντοι βούλῃ τοὺς ἱππέας πολλοὺς φαίνεσθαι, ἓν μὲν πρῶτον ὑπαρχέτω, ἥνπερ ἐγχωρῇ, μὴ ἐγγὺς τῶν πολεμίων ἐγχειρεῖν

24 καὶ γρ.] γράψω καὶ Löw.

ἐξαπατᾶν· καὶ γὰρ ἀσφαλέστερον τὸ πρόσω καὶ ἀπατητικώτερον. ἔπειτα δὲ χρὴ εἰδέναι ὅτι ἀθρόοι μὲν ἵπποι πολλοὶ φαίνονται διὰ τὸ μέγεθος τοῦ ζῴου, διασπειρόμενοι δ' εὐαρίθμητοι γίγνονται. ἔτι δ' ἂν 6
πλεῖόν σοι τὸ ἱππικὸν τοῦ ὄντος φαίνοιτο, εἰ τοὺς ἱπποκόμους εἰς τοὺς ἱππέας ἐνισταίης μάλιστα μὲν δόρατα, εἰ δὲ μή, ὅμοια δόρασιν ἔχοντας, ἦν τε ἑστηκὸς ἐπιδεικνύῃς τὸ ἱππικὸν ἦν τε παράγῃς· ἀνάγκη γὰρ τὸν ὄγκον τῆς τάξεως οὕτω μείζω τε καὶ 7
πυκνότερον φαίνεσθαι. ἢν δ' αὖ τοὺς πολλοὺς ὀλίγους βούλῃ δοκεῖν εἶναι, ἢν μέν σοι χωρία ὑπάρχῃ οἷα συγκρύπτειν, δῆλον ὅτι τοὺς μὲν ἐν τῷ φανερῷ ἔχων, τοὺς δ' εἰς τὸ ἄδηλον ἀποκρύπτων, κλέπτοις ἂν τοὺς ἱππέας· ἢν δὲ πᾶν καταφανὲς ᾖ τὸ χωρίον,
δεκάδας χρὴ στοιχούσας ποιήσαντα διαλειπούσας παράγειν· καὶ τοὺς μὲν πρὸς τῶν πολεμίων ἱππέας ἑκάστης δεκάδος ὀρθὰ τὰ δόρατα ἔχειν, τοὺς δ' ἄλλους ταπεινὰ καὶ μὴ ὑπερφανῆ. φοβεῖν γε μὴν τοὺς 8
πολεμίους καὶ ψευδενέδρας οἷόν τε καὶ ψευδοβοηθείας καὶ ψευδαγγελίας ποιοῦντα. θαρσοῦσι δὲ μάλιστα πολέμιοι, ὅταν ὄντα τοῖς ἐναντίοις πράγματα καὶ 9
ἀσχολίας πυνθάνωνται. τούτων δὲ γεγραμμένων μηχανᾶσθαι αὐτὸν χρὴ πρὸς τὸ παρὸν ἀεὶ ἀπατᾶν· ὄντως γὰρ οὐδὲν κερδαλεώτερον ἀπάτης ἐν πολέμῳ· 10
ὁπότε γε καὶ οἱ παῖδες ὅταν παίζωσι ποσίνδα, δύνανται ἀπατᾶν προϊσχοντες ὥστε ὀλίγους τ' ἔχοντες πολλοὺς δοκεῖν ἔχειν καὶ πολλοὺς προέχοντες ὀλίγους φαίνεσθαι ἔχειν. πῶς οὐκ ἄνδρες γε τῷ ἐξαπατᾶν 11
προσέχοντες τὸν νοῦν δύναιντ' ἂν τοιαῦτα μηχανᾶ-

16 *πρὸς* Dind. : *πρὸ* | 21 *ὄντα* add. post *ὅταν* Madvig, post *πράγματα* Richards | 22 *εἶναι* add. post *πυνθάνωνται* Löw. | *δὲ μεμνημένον τῶν γεγραμμ.* Diels | 25 *ποσίνδα* Hermann : *ποσὶ δὲ ἃ* | 26 *τὼ χεῖρε* add. post *προίσχοντες* Schneid.

σθαι; καὶ ἐνθυμούμενος δ' ἂν τὰ ἐν τοῖς πολέμοις πλεονεκτήματα εὕροι ἄν τις τὰ πλεῖστα καὶ μέγιστα σὺν ἀπάτῃ γεγενημένα. ὧν ἕνεκα ἢ οὐκ ἐγχειρητέον ἄρχειν ἢ τοῦτο σὺν τῇ ἄλλῃ παρασκευῇ καὶ παρὰ θεῶν αἰτητέον δύνασθαι ποιεῖν καὶ αὐτῷ μηχανητέον.

12 οἷς δὲ θάλαττα πρόσεστιν, ἀπατητικὸν καὶ τὸ πλοῖα παρασκευαζόμενον πεζῇ τι πρᾶξαι καὶ τὸ πεζῇ προσποιούμενον ἐπιβουλεύειν κατὰ θάλατταν ἐπιχειρῆσαι.

13 ἱππαρχικὸν δὲ καὶ τὸ διδάσκειν τὴν πόλιν ὡς ἀσθενὲς τὸ πεζῶν ἔρημον ἱππικὸν πρὸς τὸ ἀμίππους πεζοὺς ἔχον. ἱππαρχικὸν δὲ καὶ τὸ λαβόντα πεζοὺς αὐτοῖς χρῆσθαι· ἔστι δὲ πεζοὺς οὐ μόνον ἐν τούτοις

14 ἀλλὰ καὶ ὄπισθεν ἱππέων ἀποκρύψασθαι· πολὺ γὰρ μείζων ὁ ἱππεὺς τοῦ πεζοῦ. ταῦτα δὲ πάντα ἐγὼ καὶ ὅσα πρὸς τούτοις τις μηχανήσεται ἢ βίᾳ ἢ τέχνῃ

15 αἱρεῖν τοὺς ἐναντίους βουλόμενος σὺν τῷ θεῷ πράττειν συμβουλεύω, ἵνα καὶ τὴν τύχην συνεπαινῇ θεῶν ἵλεων ὄντων. ἔστι δ' ὅτε πάνυ ἀπατητικὸν καὶ τὸ λίαν φυλακτικὸν προσποιήσασθαι εἶναι καὶ μηδαμῶς φιλοκίνδυνον· τοῦτο γὰρ τοὺς πολεμίους πολλάκις προάγεται ἀφυλακτοῦντας μᾶλλον ἁμαρτάνειν. ἢν δ' ἅπαξ δόξῃ τις φιλοκίνδυνος εἶναι, ἔξεστι καὶ ἡσυχίαν ἔχοντα, προσποιούμενον δὲ πράξειν τι, πράγματα τοῖς πολεμίοις παρέχειν.

VI Ἀλλὰ γὰρ οὐδὲν ἄν τις δύναιτο πλάσαι οἷον βούλεται, εἰ μὴ ἐξ ὧν γε πλάττοιτο παρεσκευασμένα εἴη ὡς πείθεσθαι τῇ τοῦ χειροτέχνου γνώμῃ· οὐδέ

---

5 *ποιεῖν. καὶ οὕτω μὲν μηχανητέον* Diels | *αὐτῷ* Löw. : *αὐτὸν* s. *αὐτὸ* | 8 *τι* Brodaeus : *τε* | 10 *ἁμίππους* Cour. : *ἀμ' ἵππους (-οις)* | 11 post *πεζοὺς* add. *εὖ* Richards | 12 *ἐν τούτοις*] *ἐντὸς* Herw. *ἐν τοῖς ἱππεῦσιν* Richards | 13 *ἱππέων* Dind. : *ἵππων* | 17 *ἡ τύχη* s. *ἡ νίκη* Cour. | 26 *οὕτω* add. post *πλάττοιτο* Herw.

γ' ἂν ἐξ ἀνδρῶν, εἰ μὴ σὺν θεῷ οὕτω παρεσκευασμένοι ἔσονται ὡς φιλικῶς τε ἔχειν πρὸς τὸν ἄρχοντα καὶ φρονιμώτερον σφῶν αὐτῶν ἡγεῖσθαι περὶ τῶν πρὸς τοὺς πολεμίους ἀγώνων. εὐνοϊκῶς μὲν οὖν 2 ἔχειν καὶ ἐκ τῶνδε εἰκὸς τοὺς ἀρχομένους, ὅταν φιλοφρόνως τε ἔχῃ πρὸς αὐτοὺς καὶ προνοῶν φαίνηται ὅπως τε σῖτον ἕξουσι καὶ ὅπως ἀσφαλῶς μὲν ἀποχωρήσουσι, πεφυλαγμένως δὲ ἀναπαύσονται. ἐν δὲ 3 ταῖς φρουραῖς χρὴ καὶ χιλοῦ καὶ σκηνῶν καὶ ὑδάτων καὶ φυλακῶν καὶ τῶν ἄλλων ἐπιτηδείων φανερὸν εἶναι ἐπιμελούμενον καὶ προνοοῦντά τε καὶ ἀγρυπνοῦντα ἕνεκα τῶν ἀρχομένων. καὶ ὅταν γε πλέον ἔχῃ 4 τι, τὸ μεταδοῦναι κερδαλέον τῷ προεστηκότι. ἥκιστα δ' ἂν καταφρονοῖεν ἄρχοντος, ὡς μὲν συνελόντι εἰπεῖν, εἰ ὁπόσα ἐκείνοις παραινοίη, αὐτὸς ταῦτα βέλτιον ἐκείνων φαίνοιτο ποιῶν. ἀρξάμενον οὖν δεῖ ἀπὸ τοῦ 5 ἀναβαίνειν ἐπὶ τοὺς ἵππους πάντα τὰ ἐν ἱππικῇ μελετᾶν, ὅπως ὁρῶσι τὸν ἄρχοντα δυνάμενον ἐπὶ τοῦ ἵππου καὶ τάφρους ἀσφαλῶς περᾶν καὶ τειχία ὑπερακρίζειν καὶ ἀπ' ὄχθων καταίρειν καὶ ἀκοντίζειν ἱκανῶς· πάντα γὰρ ταῦτα προκόπτει τι εἰς τὸ μὴ 6 καταφρονεῖσθαι. ἦν δὲ δὴ καὶ πράττειν γνῶσιν ἐπιστάμενόν τε καὶ δυνάμενον παρασκευάζειν ὡς ἂν πλέον ἔχοιεν τῶν πολεμίων, πρὸς δὲ τούτοις κἀκεῖνο λάβωσιν εἰς τὴν γνώμην ὡς οὔτ' ἂν εἰκῇ οὔτ' ἄνευ θεῶν οὔτε παρὰ τὰ ἱερὰ ἡγήσαιτ' ἂν ἐπὶ πολεμίους, πάντα ταῦτα πιθανωτέρους τῷ ἄρχοντι τοὺς ἀρχομένους ποιεῖ.

---

1 γ' ἄν Dind. : γὰρ ἄν | 3 ἡγεῖσθαι Steph. : ἡγήσονται | 10 θυλάκων Cour. φρυγάνων Madvig | 11 τε Schneid. : γε | 19 τειχία Brodaeus : τείχη | 20 καταθεῖν Herw. | 24 κἀκεῖνο Dind. : κἂν ἐκεῖνο.

VII *Παντὶ μὲν οὖν προσήκει ἄρχοντι φρονίμῳ εἶναι· πολὺ μέντοι τὸν Ἀθηναίων ἵππαρχον διαφέρειν δεῖ καὶ τῷ τοὺς θεοὺς θεραπεύειν καὶ τῷ πολεμικὸν εἶναι, ᾧ γε ὑπάρχουσι μὲν ὅμοροι ἀντίπαλοι ἵππῃς τε παραπλήσιοι τὸ πλῆθος καὶ ὁπλῖται πολλοί. κἂν μὲν εἰς τὴν πολεμίαν ἐμβάλλειν ἐπιχειρῇ ἄνευ τῆς ἄλλης πόλεως, πρὸς ἀμφοτέρους τούτους μόνοις ἂν τοῖς ἱππεῦσι διακινδυνεύοι. ἢν δ' οἱ πολέμιοι εἰς τὴν Ἀθηναίων χώραν ἐμβάλωσι, πρῶτον μὲν οὐκ ἂν ἄλλως ἔλθοιεν εἰ μὴ σὺν ἄλλοις τε ἱππεῦσι πρὸς τοῖς ἑαυτῶν καὶ πρὸς τούτοις ὁπλίταις ὁπόσοις ἂν οἴωνται πάντας Ἀθηναίους μὴ ἱκανοὺς εἶναι μάχεσθαι. πρὸς οὖν τοσούτους πολεμίους ἢν μὲν ἡ πόλις πᾶσα ἐπεξίῃ ἀρήξουσα τῇ χώρᾳ, ἐλπίδες καλαί. ἱππῆς τε γὰρ σὺν θεῷ ἀμείνους, ἢν τις αὐτῶν ἐπιμελῆται ὡς δεῖ, ὁπλῖταί τε οὐ μείους ἔσονται καὶ τὰ σώματα τοίνυν οὐ χείρω ἔχοντες καὶ τὰς ψυχὰς φιλοτιμότεροι, ἢν ὀρθῶς ἀσκηθῶσι σὺν θεῷ. καὶ μὴν ἐπί γε τοῖς προγόνοις οὐ μεῖον Ἀθηναῖοι ἢ Βοιωτοὶ φρονοῦσιν. ἢν δὲ ἡ μὲν πόλις τρέπηται ἐπὶ τὰ ναυτικὰ καὶ ἀρκῇ αὐτῇ τὰ τείχη διασῴζειν, ὥσπερ καὶ ὁπότε Λακεδαιμόνιοι σὺν ἅπασι τοῖς Ἕλλησιν ἐνέβαλον, τοὺς δὲ ἱππέας ἀξιώσῃ τά τε ἐκτὸς τοῦ τείχους διασῴζειν καὶ αὐτοὺς μόνους διακινδυνεύειν πρὸς πάντας τοὺς ἐναντίους, ἐνταῦθα δὴ θεῶν μὲν οἶμαι πρῶτον συμμάχων ἰσχυρῶν δεῖ, ἔπειτα δὲ καὶ τὸν ἵππαρχον προσήκει ἀποτετελεσμένον ἄνδρα εἶναι. καὶ γὰρ φρονήσεως δεῖ πολλῆς πρὸς τοὺς πολὺ πλείους καὶ τόλμης, ὁπότε καιρὸς παραπέσοι. δεῖ δέ, ὡς ἐμοὶ δοκεῖ, καὶ πονεῖν αὐτὸν ἱκανὸν εἶναι. πρὸς μὲν γὰρ τὸ παρὸν στράτευμα διακινδυνεύων, ᾧ μηδὲ ὅλη ἡ πόλις θέλοι ἀντικαθίστασθαι, δῆλον ὅτι πάσχοι*

22 ἀξιώσῃ Dind.: *ἀξιώσειεν*.

ἄν, ὅ,τι οἱ κρείττους βούλοιντο, ποιεῖν δὲ οὐδὲν ἂν ἱκανὸς εἴη. εἰ δὲ φυλάττοι μὲν τὰ ἔξω τείχους τοσούτοις ὅσοι σκοπεύειν τε τοὺς πολεμίους ἱκανοὶ ἔσονται καὶ ἀναχωρίζειν εἰς τὸ ἀσφαλὲς τὰ δεόμενα ὡς ἐκ πλείστου· (ἱκανοὶ δὲ καὶ προορᾶν οὐδὲν ἧττον οἱ ὀλίγοι τῶν πολλῶν καὶ φυλάττειν τοίνυν καὶ ἀναχωρίζειν τὰ φίλια οὐκ ἀκαιρότεροι οἱ μήτε αὐτοῖς μήτε τοῖς ἵπποις πιστεύοντες· ὁ γὰρ φόβος δεινὸς δοκεῖ συμφύλαξ εἶναι·) τοὺς μὲν φύλακας ἐκ τούτων ἄν τις ποιῶν ἴσως ὀρθῶς βουλεύοιτο· τοὺς δὲ περιττοὺς τῆς φυλακῆς εἰ μέν τις στρατιὰν ἔχειν ἡγήσεται, ὀλίγη αὐτῷ φανεῖται· τοῦ παντὸς γὰρ ἐνδεήσεται ὥστε ἐκ τοῦ ἐμφανοῦς διακινδυνεύειν. ἢν δὲ ὡς λῃσταῖς αὐτοῖς χρῆται, πάνυ ἂν ὡς τὸ εἰκὸς ἱκανὴν τοῦτο πράττειν ἔχοι δύναμιν. δεῖ δέ, ὡς ἐμοὶ δοκεῖ, τοὺς παρεσκευασμένους ἀεὶ ἔχοντα ὡς ποιεῖν τι μὴ καταφανῆ ὄντα φυλάττειν, ἤν τι ἁμαρτάνῃ τὸ τῶν πολεμίων στράτευμα. φιλοῦσι δέ πως στρατιῶται, ὅσῳ ἂν πλείους ὦσι, τοσούτῳ πλείω ἁμαρτάνειν. ἢ γὰρ ἐπὶ τἀπιτήδεια ἐπιμελείᾳ σκεδάννυνται ἢ πορευομένων ἀταξίᾳ οἱ μὲν προέρχονται, οἱ δ' ὑπολείπονται πλέον τοῦ καιροῦ. τὰ οὖν τοιαῦτα ἁμαρτήματα οὐ χρὴ παριέναι ἀκόλαστα (εἰ δὲ μή, ὅλη ἡ χώρα στρατόπεδον ἔσται) ἐκεῖνο καλῶς προνοοῦντα, καὶ ποιήσαντα φθάσαι ἀποχωρήσαντα πρὶν τὸ πολὺ βοηθοῦν ἐπιγενέσθαι. πολλάκις δὲ πορευόμενον στράτευμα καὶ εἰς ὁδοὺς ἔρχεται ἐν αἷς οὐδὲν πλεῖον οἱ πολλοὶ τῶν ὀλίγων δύνανται. καὶ ἐν διαβάσεσί γε ἔστι τῷ προσέχοντι τὸν νοῦν ἀσφαλῶς ἐφεπομένῳ ταμιεύσασθαι ὥστε

6 7 8 9 10 11

4 ἀναχωρίζειν Löw. : ἀναχωρεῖν | 7 ἀκαιρότεροι Löw. : ἀκαιρότερον | 9 οὖν add. post μὲν Herw. | 16 τοὺς] αὐτοὺς Cer. ἑαυτοῦ s. ἱππέας add. post τοὺς Weisk. λῃστὰς add. Hartman.

12 ὁπόσοις ἂν βούληται τῶν πολεμίων ἐπιτίθεσθαι. ἔστι δ' ὅτε καλὸν καὶ στρατοπεδευομένοις καὶ ἀριστῶσι καὶ δειπνοποιουμένοις ἐπιχειρεῖν, καὶ ἐκ κοίτης γε ἀνισταμένοις. ἐν πᾶσι γὰρ τούτοις ἄοπλοι στρατιῶται γίγνονται, μείονα μὲν χρόνον οἱ ὁπλῖται, πλείονα δὲ οἱ ἱππῆς.
13 σκοποῖς μέντοι καὶ προφυλακαῖς οὐδέποτε δεῖ παύεσθαι ἐπιβουλεύονται. οὗτοι γὰρ αὖ ὀλίγοι μὲν ἀεὶ
14 καθίστανται, πολὺ δὲ τοῦ ἰσχυροῦ ἐνίοτε ἀποστατοῦσιν. ὅταν δὲ τὰ τοιαῦτα ἤδη καλῶς φυλάττωνται οἱ πολέμιοι, καλόν ἐστι σὺν θεῷ λαθόντα ἐλθεῖν εἰς τὴν πολεμίαν μεμεληκότα πόσοι τε ἑκασταχοῦ καὶ ποῦ τῆς χώρας προφυλάττουσιν. οὐδεμία γὰρ οὕτω
15 καλὴ λεία ὡς αἱ φυλακαί, ἢν κρατηθῶσι. καὶ εὐεξαπάτητοι δ' εἰσὶν οἱ φύλακες· διώκουσι γὰρ ὅ,τι ἂν ὀλίγον ἴδωσι, νομίζοντες σφίσι τοῦτο προστετάχθαι. τὰς μέντοι ἀποχωρήσεις σκοπεῖν δεῖ ὅπως μὴ ἐναντίαι τοῖς βοηθοῦσιν ἔσονται.

VIII Τοὺς μέντοι μέλλοντας δυνήσεσθαι ἀσφαλῶς τὸ πολὺ κρεῖττον στράτευμα κακουργεῖν σαφῶς δεῖ τοσούτον διαφέρειν ὥστε αὐτοὺς μὲν ἀσκητὰς φαίνεσθαι τῶν πολεμικῶν ἐν ἱππικῇ ἔργων, τοὺς δὲ πολεμίους
2 ἰδιώτας. τοῦτο δ' ἂν εἴη πρῶτον μὲν εἰ οἱ λήζεσθαι μέλλοντες ἐκπεπονημένοι εἶεν τῇ ἐλάσει, ὥστε δύνασθαι στρατιωτικοὺς πόνους ὑποφέρειν· οἱ γὰρ πρὸς ταῦτα ἀμελῶς ἔχοντες καὶ ἵπποι καὶ ἄνδρες εἰκότως
3 ἂν ὥσπερ γυναῖκες πρὸς ἄνδρας ἀγωνίζοιντο. οἱ δέ γε δεδιδαγμένοι τε καὶ εἰθισμένοι τάφρους διαπηδᾶν καὶ τειχία ὑπεραίρειν καὶ ἐπ' ὄχθους ἀνάλλεσθαι καὶ ἀφ' ὑψηλῶν ἀσφαλῶς κατιέναι καὶ τὰ κατάντη ταχὺ

---

11 μεμεληκότα πόσοι C. μὴ ἠμεληκότα π. Richards: μεμεληκότως (s. -λητηκότως) οἱ (s. οἵ) | 20 αὐτοὺς Cour.: τοὺς | 27 διαπηδᾶν Löw.: τε πηδᾶν.

ἐλαύνεσθαι, οὗτοι δ' αὖ τοσοῦτον διαφέροιεν ἂν τῶν ἀμελετήτων ταῦτα ὅσονπερ πτηνοὶ πεζῶν· οἱ δέ γε αὖ τοὺς πόδας ἐκπεπονημένοι τῶν ἀτριβάστων πρὸς τραχέα ὅσονπερ ὑγιεῖς χωλῶν· καὶ οἵ γε τῶν τόπων ἔμπειροι πρὸς τοὺς ἀπείρους τοσοῦτον ἐν ταῖς προελάσεσι καὶ ἀποχωρήσεσι διαφέροιεν ἂν ὅσονπερ οἱ ὁρῶντες τῶν τυφλῶν. καὶ τοῦτο δὲ χρὴ εἰδέναι ὅτι 4 οἱ εὐωχούμενοι ἵπποι, ἐκπεπονημένοι δὲ ὥστε μὴ ἀποπνίγεσθαι ἐν τοῖς πόνοις, εὖ παρεσκευασμένοι εἰσί. χρὴ δέ, ἐπείπερ χαλινοὶ καὶ ἐφίππια ἐξ ἱμάντων ἠρτημένα ἐστί [χρήσιμα], μήποτε τὸν ἵππαρχον τούτων ἔρημον εἶναι· μικρᾷ γὰρ δαπάνῃ τοὺς ἀποροῦντας χρησίμους ἂν παρέχοιτο.

Εἰ δέ τις νομίζει πολλὰ ἔχειν πράγματα, εἰ οὕτω 5 δεήσει ἀσκεῖν τὴν ἱππικήν, ἐνθυμηθήτω ὅτι οἱ εἰς τοὺς γυμνικοὺς ἀγῶνας ἀσκοῦντες πολὺ πλείω πράγματα καὶ χαλεπώτερα ἔχουσιν ἢ οἱ τὴν ἱππικὴν τὰ μάλιστα μελετῶντες. καὶ γὰρ τῶν μὲν γυμνικῶν ἀσκη- 6 μάτων τὰ πολλὰ σὺν ἱδρῶτι ἐκπονοῦνται, τῆς δὲ ἱππικῆς τὰ πλεῖστα μεθ' ἡδονῆς. ὅπερ γὰρ εὔξαιτ' ἄν 7 τις πτηνὸς γενέσθαι, οὐκ ἔστιν ὅ,τι μᾶλλον τῶν ἀνθρωπίνων ἔργων ἔοικεν αὐτῷ. καὶ μὴν τό γ' ἐν πολέμῳ νικᾶν πολλῷ εὐδοξότερον ἢ πυγμῇ· μετέχει μὲν γάρ τι καὶ ἡ πόλις ταύτης τῆς δόξης· ὡς δὲ τὰ πολλὰ ἐπὶ τῇ τοῦ πολέμου νίκῃ καὶ εὐδαιμονίᾳ οἱ θεοὶ τὰς πόλεις στεφανοῦσιν. ὥστ' οὐκ οἶδ' ἔγωγε τί προσήκει 8 ἄλλ' ἄττα μᾶλλον ἀσκεῖσθαι ἢ τὰ πολεμικά. ἐννοεῖν δὲ χρὴ ὅτι καὶ οἱ κατὰ θάλατταν λῃσταὶ διὰ τὸ πονεῖν ἠσκηκέναι δύνανται ζῆν καὶ ἀπὸ τῶν πολὺ

8 post. εὐωχ. add. μὲν Richards | μὴ, ante ἐκπεπ., post ὥστε transp. Toupius [ad Suid. s. v. εὐοχεῖται] | 11 χρήσιμα del. Cour. | 26 τί Weisk. : τίνα.

κρειττόνων. προσήκει γε μὴν καὶ κατὰ γῆν οὐ τοῖς καρπουμένοις τὰ ἑαυτῶν ἀλλὰ τοῖς στερισκομένοις τῆς τροφῆς λήζεσθαι· ἢ γὰρ ἐργαστέον ἢ ἀπὸ τῶν εἰργασμένων θρεπτέον· ἄλλως δ' οὐ ῥᾴδιον οὔτε
9 βιοτεύειν οὔτε εἰρήνης τυχεῖν. μεμνῆσθαι δὲ κἀκεῖνο χρή, μήποτε ἐπὶ τοὺς κρείττους ἐλαύνειν ὄπισθεν ἵπποις δύσβατον ποιούμενον· οὐ γὰρ ὅμοιον φεύ-
10 γοντι καὶ διώκοντι σφαλῆναι. ἔτι δὲ βούλομαι ὑπομνῆσαι καὶ τόδε φυλάττεσθαι. εἰσὶ γάρ τινες οἳ ὅταν μὲν ἴωσιν ἐπὶ τούτους ὧν ἂν οἴωνται κρείττους εἶναι, παντάπασιν ἀσθενεῖ δυνάμει ἔρχονται, ὥστε πολλάκις ἔπαθον ἃ ᾤοντο ποιήσειν· ὅταν δ' ἐπὶ τούτους ὧν ἂν σαφῶς ἐπίστωνται ἥττους ὄντες, πᾶσαν
11 ὅσην ἂν ἔχωσι δύναμιν ἄγουσιν. ἐγὼ δέ φημι χρῆναι τἀναντία τούτων ποιεῖν· ὅταν μὲν κρατήσειν οἰόμενος ἄγῃ, μὴ φείδεσθαι τῆς δυνάμεως ὅσην ἂν ἔχῃ. τὸ γὰρ πολὺ νικᾶν οὐδενὶ πώποτε μεταμέλειαν παρέσχεν.
12 ὅταν δὲ τοῖς πολὺ κρείττοσιν ἐπιχειρῇ καὶ προγιγνώσκῃ ὅτι ποιήσαντα ὅ,τι ἂν δύνηται φευκτέον ἐστίν, εἰς τὰ τοιαῦτά φημι πολὺ κρεῖττον εἶναι ὀλίγους ἢ πάντας προσάγειν, τοὺς μέντοι ἀπειλεγμένους καὶ ἵππους καὶ ἄνδρας τοὺς κρατίστους. τοιοῦτοι γὰρ ὄντες καὶ ποιῆσαι ἄν τι καὶ ἀποχωρῆσαι ἀσφαλέστερον
13 ἂν δύναιντο. ὅταν δὲ πρὸς τοὺς κρείττους πάντας προσαγαγὼν ἀποχωρεῖν βούληται, ἀνάγκη τοὺς μὲν ἐπὶ τῶν βραδυτάτων ἵππων ἁλίσκεσθαι, τοὺς δὲ καὶ δι' ἀφιππίαν πίπτειν, τοὺς δὲ διὰ δυσχωρίας ἀπο-
14 λαμβάνεσθαι· καὶ γὰρ πολὺν τόπον χαλεπὸν εὑρεῖν οἷον ἄν τις εὔξαιτο. ὑπό γε μὴν τοῦ πλήθους καὶ συμπίπτοιεν ἂν καὶ ἐμποδίζοντες πολλὰ ἂν ἀλλήλους

---

6 τοὔπισθεν Richards | 7 δυσβ. ποιούμ. Wellsiana, δύσβατα ποιούμενον Madvig: δυσβατοποιοῦμεν (s. -μενον).

κακουργοῖεν. οἱ δ' ἀγαθοὶ ἵπποι καὶ ἱππῆς δυνατοὶ καὶ ἐξ αὐτῶν διαφεύγειν, ἄλλως τε ἂν καὶ μηχανᾶταί τις τοῖς διώκουσι φόβον ἀπὸ τῶν περιττῶν ἱππέων. σύμφορον δ' εἰς τοῦτο καὶ αἱ ψευδενέδραι· χρήσιμον 15
δὲ κἀκεῖνο, τὸ εὑρίσκειν πόθεν ἂν οἱ φίλοι ἐξ ἀσφαλοῦς ἐπιφαινόμενοι βραδυτέρους τοὺς διώκοντας παρέχοιεν. ἀλλὰ μὴν καὶ τόδε δῆλον ὡς πόνοις καὶ 16
τάχει οἱ ὀλίγοι τῶν πολλῶν πολὺ μᾶλλον ἢ οἱ πολλοὶ τῶν ὀλίγων περιγίγνοιντ' ἄν. καὶ οὐ λέγω ὡς
διὰ τὸ ὀλίγοι εἶναι καὶ πονεῖν μᾶλλον δυνήσονται καὶ θάττους ἔσονται, ἀλλ' ὅτι ῥᾷον εὑρεῖν ὀλίγους ἢ πολλοὺς τοὺς καὶ τῶν ἵππων ἐπιμελησομένους ὡς δεῖ καὶ αὐτοὺς φρονίμως μελετήσοντας τὴν ἱππικήν.
Ἢν δέ ποτε συμβαίνῃ ἀγωνίζεσθαι πρὸς παρα- 17
πλησίους ἱππέας, ἐγὼ μὲν οἶμαι οὐκ ἂν χεῖρον εἶναι εἴ τις δύο τάξεις ἐκ τῆς φυλῆς ποιήσειε, καὶ τῆς μὲν ὁ φύλαρχος ἡγοῖτο, τῆς δὲ ἄλλης ὅστις ἄριστος δοκοίη εἶναι. οὗτος δὲ τέως μὲν ἕποιτο κατ' οὐρὰν 18
τῆς μετὰ τοῦ φυλάρχου τάξεως, ἐπεὶ δ' ἐγγὺς ἤδη
εἶεν οἱ ἀντίπαλοι, ἀπὸ παραγγέλσεως παρελαύνοι ἐπὶ τοὺς πολεμίους. οὕτω γὰρ οἶμαι καὶ ἐκπληκτικωτέρους τοῖς ἐχθροῖς ἂν εἶναι καὶ δυσμαχωτέρους. εἰ 19
δὲ καὶ πεζοὺς ἔχοιεν ἑκάτεροι, καὶ οὗτοι ἀποκεκρυμμένοι ὄπισθεν τῶν ἱππέων, ἐξαπίνης δὲ παραφαινόμενοι καὶ ὁμόσε ἰόντες, δοκοῦσιν ἄν μοι τὴν νίκην πολὺ μᾶλλον κατεργάζεσθαι. ὁρῶ γὰρ τὰ παράδοξα ἢν μὲν ἀγαθὰ ᾖ, μᾶλλον εὐφραίνοντα τοὺς ἀνθρώπους, ἢν δὲ δεινά, μᾶλλον ἐκπλήττοντα. ταῦτα δὲ 20
γνοίη ἄν τις μάλιστα ἐνθυμούμενος ὡς οἵ τε ἐνέδραις ἐμπίπτοντες ἐκπλήττονται καὶ ἐὰν πολὺ πλείους ὦσι,

---

2 ἐξ αὐτῶν] ἐκ πάντων Richards ἐξ ἀστιβῶν (vel δυσβατῶν) Herw. ἐξ αὐτῶν τῶν χειρῶν K. Schenkl.

καὶ ὅταν πολέμιοι ἀλλήλοις ἀντικάθωνται, ὡς πολὺ
21 ταῖς πρώταις ἡμέραις φοβερώτατα ἔχουσιν. ἀλλὰ τὸ
μὲν διατάξαι ταῦτα οὐ χαλεπόν· τὸ δ' εὑρεῖν τοὺς
φρονίμως καὶ πιστῶς καὶ προθύμως καὶ εὐψύχως
παρελῶντας ἐπὶ τοὺς πολεμίους, τοῦτο ἤδη ἀγαθοῦ
22 ἱππάρχου. δεῖ γὰρ καὶ λέγειν αὐτὸν ἱκανὸν εἶναι καὶ
ποιεῖν τοιαῦτα ἀφ' ὧν οἱ ἀρχόμενοι γνώσονται ἀγα-
θὸν εἶναι τό τε πείθεσθαι καὶ τὸ ἕπεσθαι καὶ τὸ
ὁμόσε ἐλαύνειν τοῖς πολεμίοις καὶ ἐπιθυμήσουσι
τοῦ καλόν τι ἀκούειν καὶ δυνήσονται ἃ ἂν γνῶσιν
23 ἐγκαρτερεῖν. ἐὰν δέ ποτε αὖ ἢ φαλάγγων ἀντιτετα-
γμένων ἢ χωρίων ἑκατέροις ὑπαρχόντων ἐν τῷ μέσῳ
τοῖς ἱππεῦσιν ἀναστροφαί τε καὶ διώξεις καὶ ἀποχω-
ρήσεις γίγνωνται, εἰώθασι μὲν ὡς τὰ πολλὰ ἐκ τῶν
τοιούτων ὁρμᾶν μὲν [ἐκ τῶν ἀναστροφῶν] βραδέως
24 ἀμφότεροι, τὸ δ' ἐν μέσῳ τάχιστα ἐλαύνειν. ἢν δέ
τις οὕτω προδείξας, ἔπειτα δ' ἐκ τῶν ἀναστροφῶν
ταχέως τε διώκῃ καὶ ταχέως ἀποχωρῇ, βλάπτειν τ'
ἂν μάλιστα τοὺς πολεμίους δύναιτο καὶ ὡς τὸ εἰκὸς
ἀσφαλέστατ' ἂν διάγοι, ταχὺ μὲν διώκων ἐν ᾧ ἂν
ἐγγὺς ᾖ τοῦ ἑαυτοῦ ἰσχυροῦ, ταχὺ δὲ ἀποχωρῶν ἀπὸ
25 τῶν τοῖς πολεμίοις ἰσχυρῶν. εἰ δὲ καὶ λαθεῖν δύναιτο
ἀπὸ τῆς τάξεως ἑκάστης καταλιπὼν ἢ τέτταρας ἢ
πέντε τῶν κρατίστων ἵππων τε καὶ ἀνδρῶν, πολὺ ἂν
προέχοιεν εἰς τὸ ἐπαναστρεφομένοις τοῖς πολεμίοις
ἐμπίπτειν.

IX Ταῦτα δὲ ἀναγιγνώσκειν μὲν καὶ ὀλιγάκις ἀρκεῖ,
ποιεῖν δὲ τὸ παρατυγχάνον ἀεὶ αὐτῷ δεῖ, καὶ πρὸς
τὸ παριστάμενον σκοποῦντα τὸ συμφέρον ἐκπονεῖν.
γράψαι δὲ πάντα ὁπόσα δεῖ ποιεῖν οὐδὲν μᾶλλον οἷόν

15 ἐκ- ἀναστροφῶν del. Rühl | 28 κατὰ vel πρὸς add. post δὲ Richards.

τέ ἐστιν ἢ τὰ μέλλοντα πάντα εἰδέναι. πάντων δὲ 2
τῶν ὑπομνημάτων ἔμοιγε δοκεῖ κράτιστον εἶναι τὸ
ὅσα ἂν γνῷ ἀγαθὰ εἶναι ἐπιμελεῖσθαι ὡς ἂν πραχθῇ.
ὀρθῶς δὲ γιγνωσκόμενα οὐ φέρει καρπὸν οὔτ' ἐν
γεωργίᾳ οὔτ' ἐν ναυκληρίᾳ οὔτ' ἐν ἀρχῇ, ἢν μή τις
ἐπιμελῆται ὡς ἂν ταῦτα ἐκπεραίνηται.

Φημὶ δ' ἐγὼ [ταῦτα] σὺν τοῖς θεοῖς καὶ τὸ πᾶν 3
ἱππικὸν ὧδ' ἂν πολὺ θᾶττον ἐκπληρωθῆναι εἰς τοὺς
χιλίους ἱππέας καὶ πολὺ ῥᾷον τοῖς πολίταις, εἰ δια-
κοσίους ἱππέας ξένους καταστήσαιντο· δοκοῦσι γὰρ
ἄν μοι οὗτοι προσγενόμενοι καὶ εὐπειστότερον ἂν
πᾶν τὸ ἱππικὸν ποιῆσαι καὶ φιλοτιμότερον πρὸς ἀλ-
λήλους περὶ ἀνδραγαθίας. οἶδα δ' ἔγωγε καὶ Λακε- 4
δαιμονίοις ἱππικὸν ἀρξάμενον εὐδοκιμεῖν, ἐπεὶ ξένους
ἱππέας προσέλαβον. καὶ ἐν ταῖς ἄλλαις δὲ πόλεσι
πανταχοῦ τὰ ξενικὰ ὁρῶ εὐδοκιμοῦντα· ἡ γὰρ χρεία
μεγάλην προθυμίαν συμβάλλεται. εἰς δὲ τιμὴν τῶν 5
ἵππων νομίζω ἂν αὐτοῖς χρήματα ὑπάρξαι καὶ παρὰ
τῶν σφόδρα ἀπεχομένων μὴ ἱππεύειν, ὅτι καὶ οἷς
καθίστησι τὸ ἱππικὸν ἐθέλουσι τελεῖν ἀργύριον ὡς
μὴ ἱππεύειν καὶ παρὰ πλουσίων μέν, ἀδυνάτων δὲ
τοῖς σώμασιν, οἶμαι δὲ καὶ παρ' ὀρφανῶν τῶν δυ-
νατοὺς οἴκους ἐχόντων. νομίζω δὲ καὶ μετοίκων 6
φιλοτιμεῖσθαι ἄν τινας εἰς ἱππικὸν καθισταμένους·
ὁρῶ γὰρ καὶ τῶν ἄλλων ὁπόσων ἂν καλῶν ὄντων
μεταδιδῶσιν αὐτοῖς οἱ πολῖται, φιλοτίμως ἐνίους ἐθέ-
λοντας τὸ προσταχθὲν διαπράττεσθαι. δοκεῖ δ' ἄν 7
μοι καὶ πεζὸν σὺν τοῖς ἵπποις ἐνεργότατον εἶναι, εἰ
συσταθείη ἐξ ἀνδρῶν τῶν ἐναντιωτάτων τοῖς πολε-

---

7 ταῦτα del. Löw. | 10 ἱππέας Löw.: ἱππεῖς | 11 εὐπειστ. Löw.: εὐπιστ. | 20 καθίσταται Dind. | 21 μὲν Dind. : γε | 24 ἱππικὸν Bake : ἱππικὴν.

μίοις. ταῦτα δὲ πάντα θεῶν συνεθελόντων γένοιτ' ἄν.
8 εἰ δέ τις τοῦτο θαυμάζει ὅτι πολλάκις γέγραπται τὸ
σὺν θεῷ πράττειν, εὖ ἴστω ὅτι ἦν πολλάκις κινδυ-
νεύῃ, ἧττον τοῦτο θαυμάσεται, καὶ ἢν γε κατανοῇ
ὅτι ὅταν πόλεμος ᾖ, ἐπιβουλεύουσι μὲν ἀλλήλοις οἱ
ἐναντίοι, ὀλιγάκις δὲ ἴσασι πῶς ἔχει τὰ ἐπιβουλευό-
9 μενα. τὰ οὖν τοιαῦτα οὐδ' ὅτῳ συμβουλεύσεταί τις
οἷόν τε εὑρεῖν πλὴν θεῶν· οὗτοι δὲ πάντα ἴσασι καὶ
προσημαίνουσιν ᾧ ἂν ἐθέλωσι καὶ ἐν ἱεροῖς καὶ ἐν
οἰωνοῖς καὶ ἐν φήμαις καὶ ἐν ὀνείρασιν. εἰκὸς δὲ
μᾶλλον ἐθέλειν αὐτοὺς συμβουλεύειν τούτοις οἳ ἂν
μὴ μόνον ὅταν δέωνται ἐπερωτῶσι τί χρὴ ποιεῖν,
ἀλλὰ καὶ ἐν ταῖς εὐτυχίαις θεραπεύωσιν ὅ,τι ἂν δύ-
νωνται τοὺς θεούς.

---

7 *συμβουλεύσαιτ' ἄν* Cour. *συμβουλεύσαιτο* Löw.

ΠΕΡΙ ΙΠΠΙΚΗΣ.

Ἐπειδὴ διὰ τὸ συμβῆναι ἡμῖν πολὺν χρόνον ἱπ- I
πεύειν οἰόμεθα ἔμπειροι ἱππικῆς γεγενῆσθαι, βουλό-
μεθα καὶ τοῖς νεωτέροις τῶν φίλων δηλῶσαι, ᾗ ἂν
νομίζομεν αὐτοὺς ὀρθότατα ἵπποις προσφέρεσθαι.
συνέγραψε μὲν οὖν καὶ Σίμων περὶ ἱππικῆς, ὃς καὶ
τὸν κατὰ τὸ Ἐλευσίνιον Ἀθήνησιν ἵππον χαλκοῦν
ἀνέθηκε καὶ ἐν τῷ βάθρῳ τὰ ἑαυτοῦ ἔργα ἐξετύπω-
σεν· ἡμεῖς γε μέντοι ὅσοις συνετύχομεν ταὐτὰ γνόντες
ἐκείνῳ, οὐκ ἐξαλείφομεν ἐκ τῶν ἡμετέρων, ἀλλὰ
πολὺ ἥδιον παραδώσομεν αὐτὰ τοῖς φίλοις, νομίζοντες
ἀξιοπιστότεροι εἶναι, ὅτι κἀκεῖνος κατὰ ταὐτὰ ἡμῖν
ἔγνω ἱππικὸς ὤν· καὶ ὅσα δὴ παρέλιπεν, ἡμεῖς πει-
ρασόμεθα δηλῶσαι.

Πρῶτον δὲ γράψομεν, ὡς ἄν τις ἥκιστα ἐξαπα-
τῷτο ἐν ἱππωνίᾳ. τοῦ μὲν τοίνυν ἔτι ἀδαμάστου
πώλου δῆλον ὅτι τὸ σῶμα δεῖ δοκιμάζειν· τῆς γὰρ
ψυχῆς οὐ πάνυ σαφῆ τεκμήρια παρέχεται ὁ μήπω
ἀναβαινόμενος. τοῦ γε μὴν σώματος πρῶτόν φαμεν 2
χρῆναι τοὺς πόδας σκοπεῖν. ὥσπερ γὰρ οἰκίας οὐδὲν
ὄφελος ἂν εἴη, εἰ τὰ ἄνω πάνυ καλὰ ἔχοι, μὴ ὑπο-

6 [*Ἀθήνησιν*] Dind. *Ἀθήν. Ἐλευσίνιον* C. | 8 *ἐν* add. ante *ὅσοις* Steph. | 9 *ἐξαλείψομεν* C. | 15 *ἱππωνίᾳ* Dind. : *ἱππωνείᾳ* | 20 *οὐδ'* add. ante *εἰ* Richards, qui 70, 2 [*οὐδ'*].

κειμένων οἵων δεῖ θεμελίων, οὕτω καὶ ἵππου πολεμιστηρίου οὐδὲν ἂν ὄφελος εἴη, οὐδ' εἰ τἆλλα πάντα ἀγαθὰ ἔχοι, κακόπους δ' εἴη· οὐδενὶ γὰρ ἂν δύναιτο
3 τῶν ἀγαθῶν χρῆσθαι. πόδας δ' ἄν τις δοκιμάζοι πρῶτον μὲν τοὺς ὄνυχας σκοπῶν· οἱ γὰρ παχεῖς πολὺ τῶν λεπτῶν διαφέρουσιν εἰς εὐποδίαν· ἔπειτα οὐδὲ τοῦτο δεῖ λανθάνειν, πότερον αἱ ὁπλαί εἰσιν ὑψηλαὶ [ἢ ταπειναὶ] καὶ ἔμπροσθεν καὶ ὄπισθεν ἢ χαμηλαί. αἱ μὲν γὰρ ὑψηλαὶ πόρρω ἀπὸ τοῦ δαπέδου ἔχουσι τὴν χελιδόνα καλουμένην, αἱ δὲ ταπειναὶ
ὁμοίως βαίνουσι τῷ τε ἰσχυροτάτῳ καὶ τῷ μαλακωτάτῳ τοῦ ποδός, ὥσπερ οἱ βλαισοὶ τῶν ἀνθρώπων· καὶ τῷ ψόφῳ δὲ ἔφη Σίμων δήλους εἶναι τοὺς εὐποδας, καλῶς λέγων· ὥσπερ γὰρ κύμβαλον ψοφεῖ πρὸς τῷ
4 δαπέδῳ ἡ κοίλη ὁπλή. ἐπεὶ δὲ ἠρξάμεθα ἐντεῦθεν, ταύτῃ καὶ ἀναβησόμεθα πρὸς τὸ ἄλλο σῶμα. δεῖ τοίνυν καὶ τὰ ἀνωτέρω μὲν τῶν ὁπλῶν, κατωτέρω δὲ τῶν κυνηπόδων ὀστᾶ μήτε ἄγαν ὀρθὰ εἶναι ὥσπερ αἰγός· ἀντιτυπώτερα γὰρ ὄντα κόπτει τε τὸν ἀναβάτην καὶ παραπίμπραται μᾶλλον τὰ τοιαῦτα σκέλη·
οὐδὲ μὴν ἄγαν ταπεινὰ τὰ ὀστᾶ δεῖ εἶναι· ψιλοῖντο γὰρ ἂν καὶ ἕλκοῖντο οἱ κυνήποδες εἴτ' ἐν βώλοις
5 εἴτ' ἐν λίθοις ἐλαύνοιτο ὁ ἵππος. τῶν γε μὴν κνημῶν τὰ ὀστᾶ παχέα χρὴ εἶναι· ταῦτα γάρ ἐστι στήριγγες τοῦ σώματος· οὐ μέντοι φλεψί γε οὐδὲ σαρξὶ παχέα· εἰ δὲ μή, ὅταν ἐν σκληροῖς ἐλαύνηται, ἀνάγκη αἵματος ταῦτα πληροῦσθαι καὶ κρισσοὺς γίγνεσθαι, καὶ παχύνεσθαι μὲν τὰ σκέλη, ἀφίστασθαι δὲ τὸ δέρμα. χαλῶντος δὲ τούτου πολλάκις καὶ ἡ περόνη ἀποστᾶσα
6 χωλὸν ἀπέδειξε τὸν ἵππον. τά γε μὴν γόνατα ἦν

8 ἢ ταπ. del. Dind. | 10 ταπειναὶ] χαμηλαὶ Richards | 25 παχέα Cour. : παχείαις | 27 κιρσοὺς Pollux I 191.

βαδίζων ὁ πῶλος ὑγρῶς κάμπτῃ, εἰκάζοις ἂν καὶ ἱππεύοντα ὑγρὰ ἕξειν τὰ σκέλη· πάντες γὰρ προϊόντος τοῦ χρόνου ὑγροτέρως κάμπτουσιν ἐν τοῖς γόνασι. τὰ δὲ ὑγρὰ δικαίως εὐδοκιμεῖ· ἀπταιστότερον γὰρ καὶ ἀκοπώτερον τὸν ἵππον τῶν σκληρῶν σκελῶν παρέχει. μηροί γε μέντοι οἱ ὑπὸ ταῖς ὠμοπλάταις ἦν 7 παχεῖς ὦσιν, ἰσχυρότεροί τε καὶ εὐπρεπέστεροι ὥσπερ ἀνδρὸς φαίνονται. καὶ μὴν στέρνα πλατύτερα ὄντα καὶ πρὸς κάλλος καὶ πρὸς ἰσχὺν καὶ πρὸς τὸ μὴ ἐπαλλὰξ ἀλλὰ διὰ πολλοῦ τὰ σκέλη φέρειν εὐφυέστερα. ἐπό γε μὴν τοῦ στέρνου ὁ μὲν αὐχὴν αὐτοῦ μὴ 8 ὥσπερ κάπρου προπετὴς πεφύκοι, ἀλλ' ὥσπερ ἀλεκτρυόνος ὀρθὸς πρὸς τὴν κορυφὴν ἥκοι, λαγαρὸς δὲ εἴη τὰ κατὰ τὴν συγκαμπήν, ἡ δὲ κεφαλὴ ὀστώδης οὖσα μικρὰν σιαγόνα ἔχοι συνεσταλμένην. οὕτως ὁ μὲν τράχηλος πρὸ τοῦ ἀναβάτου ἂν εἴη, τὸ δὲ ὄμμα τὰ πρὸ τῶν ποδῶν ὁρῴη. καὶ βιάζεσθαι δὲ ἥκιστ' ἂν δύναιτο ὁ τοιοῦτον σχῆμα ἔχων καὶ εἰ πάνυ θυμοειδὴς εἴη· οὐ γὰρ ἐγκάμπτοντες ἀλλ' ἐκτείνοντες τὸν τράχηλον καὶ τὴν κεφαλὴν βιάζεσθαι οἱ ἵπποι ἐπιχειροῦσι. σκοπεῖν δὲ χρὴ καὶ εἰ ἀμφότεραι μακραὶ αἱ γνάθοι ἢ σκληραί, ἢ ἡ ἑτέρα. ἑτερόγναθοι μὲν ὡς τὰ πολλὰ οἱ μὴ ὁμοίας τὰς γνάθους ἔχοντες γίγνονται. καὶ μὴν τὸ ἐξόφθαλμον εἶναι ἐγρηγορὸς μᾶλλον φαίνεται τοῦ κοιλοφθάλμου, καὶ ἐπὶ πλεῖον δ' ἂν ὁ τοιοῦτος ὁρῴη. καὶ μυκτῆρές γε 10 οἱ ἀναπεπταμένοι τῶν συμπεπτωκότων εὐπνοώτεροί

10 *φορεῖν* Hew. | 15 *συνεσταλμένην* add. ante *σιαγόνα* Schneid., ex Athen. Deipn. III 94, transp. P. | 17 *τὰ* add. Weisk. | 19 *συγκάμπτοντες* C. | 22 *ἡ ἑτέρα* Schneid. : *ἕτεραι* | 25 *ἐγρηγορότος - κοιλόφθαλμον* Richards.

τε ἅμα εἰσὶ καὶ γοργότερον τὸν ἵππον ἀποδεικνύουσι.
καὶ γὰρ ὅταν ὀργίζηται ἵππος ἵππῳ ἢ ἐν ἱππασίᾳ
11 θυμῶται, εὐρύνει μᾶλλον τοὺς μυκτῆρας. καὶ μὴν
κορυφὴ μὲν μείζων, ὦτα δὲ μικρότερα ἱππωδεστέραν
τὴν κεφαλὴν ἀποφαίνει. ἡ δ' αὖ ὑψηλὴ ἀκρωμία τῷ
τε ἀναβάτῃ ἀσφαλεστέραν τὴν ἕδραν καὶ τοῖς ὤμοις
[καὶ τῷ σώματι] ἰσχυροτέραν τὴν πρόσφυσιν παρέχε-
ται. ῥάχις γε μὴν ἡ διπλῆ τῆς ἁπλῆς καὶ ἐγκαθῆ-
12 σθαι μαλακωτέρα καὶ ἰδεῖν ἡδίων. καὶ πλευρὰ δὲ ἡ
βαθυτέρα καὶ πρὸς τὴν γαστέρα ὀγκωδεστέρα ἅμα
εὐεδρότερόν τε καὶ ἰσχυρότερον καὶ εὐχιλότερον ὡς ἐπὶ
τὸ πολὺ τὸν ἵππον παρέχεται. ὀσφῦς γε μὴν ὅσῳ ἂν
πλατυτέρα τε καί βραχυτέρα ᾖ, τοσούτῳ ῥᾷον μὲν ὁ
ἵππος τὰ πρόσθεν αἴρεται, ῥᾷον δὲ τὰ ὄπισθεν προσ-
άγεται· καὶ ὁ κενεὼν δὲ οὕτω μικρότατος φαίνεται,
ὅσπερ μέγας ὢν μέρος μέν τι καὶ αἰσχύνει, μέρος
δέ τι καὶ ἀσθενέστερον καὶ δυσφορώτερον αὐτὸ τὸν
13 ἵππον παρέχεται. τά γε μὴν ἰσχία πλατέα εἶναι μὲν
χρὴ καὶ εὔσαρκα, ἵνα ἀκόλουθα ᾖ ταῖς πλευραῖς καὶ
τοῖς στέρνοις· ἦν δὲ ταῦτα πάντα στερεὰ ᾖ κου-
φότερα ἂν τὰ πρὸς τὸν δρόμον εἴη καὶ ὀξύτερον
14 μᾶλλον αὐτὸν τὸν ἵππον παρέχοιτο. μηροὺς γε μὴν
τοὺς ὑπὸ τῇ οὐρᾷ ἦν ἅμα πλατείᾳ τῇ γραμμῇ διω-
ρισμένους ἔχῃ, οὕτω καὶ τὰ ὄπισθεν σκέλη διὰ πολ-
λοῦ ὑποθήσει. τοῦτο δὲ ποιῶν ἅμα γοργότεραν τε
καὶ ἰσχυροτέραν ἕξει τὴν ὑπόβασίν τε καὶ ἱππασίαν
καὶ ἅπαντα βελτίων ἔσται ἑαυτοῦ. τεκμήριον δ' ἂν
καὶ ἀπ' ἀνθρώπων· ὅταν γάρ τι ἀπὸ τῆς γῆς ἄρα-
σθαι βούλωνται, διαβαίνοντες πάντες μᾶλλον ἢ συμ-

---

7 καὶ τῷ σ. del. Schneid. | 8 ῥάχις γε μὴν add. Cour. ὀσφὺς Schneid. | 12 τὸ add. Dind. | 17 [αὐτὸν] Din. αὖ Saupp. | 18 μὲν εἶναι Hermann | 20 ταῦτα add. P.

βεβηκότες ἐπιχειροῦσιν αἱρεσθαι. τούς γε μὴν ὄρχεις 15
δεῖ μὴ μεγάλους τὸν ἵππον ἔχειν, ὃ οὐκ ἔστι πώλου
κατιδεῖν. περί γε μὴν τῶν κάτωθεν, ἀστραγάλων ἢ
κνημῶν καὶ κυνηπόδων καὶ ὁπλῶν ταὐτὰ λέγομεν
ἅπερ περὶ τῶν ἔμπροσθεν.

Γράψαι δὲ βούλομαι καὶ ἐξ ὧν ἂν περὶ μεγέθους 16
ἥκιστα ἀποτυγχάνοι τις. ὅτου γὰρ ἂν ὦσιν αἱ κνῆμαι
εὐθὺς γιγνομένου ὑψηλόταται, οὗτος μέγιστος γίγνε-
ται. προϊόντος γὰρ τοῦ χρόνου πάντων τῶν τετρα-
πόδων αἱ μὲν κνῆμαι εἰς μέγεθος οὐ μάλα αὔξονται,
πρὸς δὲ ταύτας ὡς ἂν συμμέτρως ἔχῃ συναύξεται
καὶ τὸ ἄλλο σῶμα. εἶδος μὲν δὴ πώλου οὕτω δοκι- 17
μάζοντες μάλιστ' ἂν ἡμῖν δοκοῦσι τυγχάνειν εὔποδος
καὶ ἰσχυροῦ καὶ εὐσάρκου καὶ εὐσχήμονος καὶ εὐμε-
γέθους. εἰ δέ τινες αὐξανόμενοι μεταβάλλουσιν, ὅμως
οὕτω θαρσοῦντες δοκιμάζοιμεν· πολὺ γὰρ πλείους
εὐχρόαστοι ἐξ αἰσχρῶν ἢ ἐκ τοιούτων αἰσχροὶ γί-
γνονται.

Ὅπως γε μὴν δεῖ πωλεύειν δοκεῖ ἡμῖν γραπτέον II
εἶναι. τάττονται μὲν γὰρ δὴ ἐν ταῖς πόλεσιν ἱππεύειν
οἱ τοῖς χρήμασί τε ἱκανώτατοι καὶ τῆς πόλεως οὐκ
ἐλάχιστον μετέχοντες· πολὺ δὲ κρεῖττον τοῦ πωλο-
δαμνεῖν [εἶναι] τῷ μὲν νέῳ εὐεξίας τε ἐπιμελεῖσθαι
τῆς ἑαυτοῦ καὶ ἱππικὴν ἐν * ἢ ἐπισταμένῳ ἤδη ἱπ-
πάζεσθαι μελετᾶν· τῷ δὲ πρεσβυτέρῳ τοῦ τε οἴκου
καὶ τῶν φίλων καὶ τῶν πολιτικῶν καὶ τῶν πολεμι- 2
κῶν μᾶλλον ἢ ἀμφὶ πώλευσιν διατρίβειν. ὁ μὲν δὴ
ὥσπερ ἐγὼ γιγνώσκων περὶ πωλείας δῆλον ὅτι ἐκ-

3 ἢ] καὶ Christian | 8 γενομένου Richards | 13 ἵππου add. ante εὔπ. Herw. | 16 δοκιμάζοιμεν ἄν cum. Dind. vel δοκιμάζωμεν Richards. | 19 οὐ add. ante δοκεῖ C. | μὴ add. ante γραπτ. Cour. | 21 τῶν add. ante τῆς Weisk. | 23 εἶναι del. Tomm. | 24 ἐν] ἐνίστασθαι Diels | 25 δὲ Zeune : τε.

δώσει τὸν πῶλον. χρὴ μέντοι ὥσπερ τὸν παῖδα ὅταν ἐπὶ τέχνην ἐκδῷ, συγγραψάμενον ἃ δεήσει ἐπιστάμενον ἀποδοῦναι οὕτως ἐκδιδόναι. ταῦτα γὰρ ὑπομνήματα ἔσται τῷ πωλοδάμνῃ ὧν δεῖ ἐπιμεληθῆναι, εἰ
3 μέλλει τὸν μισθὸν ἀπολήψεσθαι. ὅπως μέντοι πρᾷός τε καὶ χειροήθης καὶ φιλάνθρωπος ὁ πῶλος ἐκδιδῶται τῷ πωλοδάμνῃ ἐπιμελητέον. τὸ γὰρ τοιοῦτον οἴκοι τε τὰ πλεῖστα καὶ διὰ τοῦ ἱπποκόμου ἀποτελεῖται, ἢν ἐπίστηται τὸ μὲν πεινῆν καὶ διψῆν καὶ μυωπίζεσθαι παρασκευάζειν μετ' ἐρημίας γίγνεσθαι τῷ πώλῳ, τὸ δὲ φαγεῖν καὶ πιεῖν καὶ τὸ τῶν λυπούντων ἀπαλλάττεσθαι δι' ἀνθρώπων. τούτων γὰρ γιγνομένων ἀνάγκη μὴ μόνον φιλεῖσθαι ἀλλὰ καὶ ποθεῖσθαι ὑπὸ πώλων
4 ἀνθρώπους. καὶ ἅπτεσθαι δὲ χρὴ ὧν ψηλαφωμένων ὁ ἵππος μάλιστα ἥδεται. ταῦτα δ' ἐστὶ τά τε λασιώτατα καὶ οἷς αὐτὸς ἥκιστ' ἂν δύναιτο ὁ ἵππος, ἤν τι
5 λυπῇ αὐτόν, ἐπικουρεῖν. προστετάχθω δὲ τῷ ἱπποκόμῳ καὶ τὸ δι' ὄχλου διάγειν, καὶ παντοδαπαῖς μὲν ὄψεσι παντοδαποῖς δὲ ψόφοις πλησιάζειν. τούτων δὲ ὅσα ἂν ὁ πῶλος φοβῆται, οὐ χαλεπαίνοντα δεῖ ἀλλὰ προαῦνοντα διδάσκειν ὅτι οὐ δεινά ἐστι. καὶ περὶ μὲν πωλείας ἀρκεῖν μοι δοκεῖ τῷ ἰδιώτῃ εἰπεῖν τοσαῦτα πράττειν.

III Ὅταν γε μὴν ἱππαζόμενον ὠνῆταί τις, ὑπομνήματα γράψομεν ἃ δεῖ καταμανθάνειν τὸν μέλλοντα μὴ ἐξαπατᾶσθαι ἐν ἱππωνίᾳ. πρῶτον μὲν τοίνυν μὴ λαθέτω αὐτὸν τίς ἡ ἡλικία· ὁ γὰρ μηκέτι ἔχων γνώμονας οὔτ' ἐλπίσιν εὐφραίνει οὔτε ὁμοίως εὐαπάλ-
2 λακτος γίγνεται. ὁπότε δὲ ἡ νεότης σαφής, δεῖ αὖ μὴ λαθεῖν, πῶς μὲν εἰς τὸ στόμα δέχεται τὸν χαλινόν,

9 μυωπίζ. Cour. : μὴ ὀργίζεσθαι | 10 ἐρημίας Gesner : ἠρεμίας | 27 ἡ add. Castalio.

πῶς δὲ περὶ τὰ ὦτα τὴν κορυφαίαν. ταῦτα δ' ἥκιστ' ἂν λανθάνοι, εἰ ὁρῶντος μὲν τοῦ ὠνουμένου ἐμβάλλοιτο ὁ χαλινός, ὁρῶντος δ' ἐξαιροῖτο. ἔπειτα δὲ 3 προσέχειν δεῖ τὸν νοῦν, πῶς ἐπὶ τὸν νῶτον δέχεται τὸν ἀναβάτην. πολλοὶ γὰρ ἵπποι χαλεπῶς προσίενται ἃ πρόδηλα αὐτοῖς ἐστιν, ὅτι προσέμενοι πονεῖν ἀναγκασθήσονται. σκεπτέον δὲ καὶ τόδε, εἰ ἀναβαθεὶς 4 ἐθέλει ἀφ' ἵππων ἀποχωρεῖν ἢ εἰ παρ' ἑστηκότας ἱππεύων μὴ ἐκφέρει πρὸς τούτους. εἰσὶ δὲ καὶ οἳ διὰ κακὴν ἀγωγὴν πρὸς τὰς οἴκαδε ἀφόδους φεύγουσιν ἐκ τῶν ἱππασιῶν. τούς γε μὴν ἑτερογνάθους μηνύει 5 μὲν καὶ ἡ πέδη καλουμένη ἱππασία, πολὺ δὲ μᾶλλον καὶ τὸ μεταβάλλεσθαι τὴν ἱππασίαν. πολλοὶ γὰρ οὐκ ἐγχειροῦσιν ἐκφέρειν, ἢν μὴ ἅμα συμβῇ ἥ τε ἄδικος γνάθος καὶ ἡ πρὸς οἶκον ἐκφορά. δεῖ γε μὴν εἰδέναι καὶ εἰ ἀφεθεὶς εἰς τάχος ἀναλαμβάνεται ἐν βραχεῖ καὶ εἰ ἀποστρέφεσθαι ἐθέλει. ἀγαθὸν δὲ μὴ ἄπειρον 6 εἶναι, εἰ καὶ πληγῇ ἐγερθεὶς ἐθέλει ὁμοίως πείθεσθαι. ἄχρηστον μὲν γὰρ δήπου καὶ οἰκέτης καὶ στράτευμα ἀπειθές· ἵππος δὲ ἀπειθὴς οὐ μόνον ἄχρηστος ἀλλὰ πολλάκις καὶ ὅσαπερ προδότης διαπράττεται. ἐπεὶ δὲ 7 πολεμιστήριον ἵππον ὑπεθέμεθα ὠνεῖσθαι, ληπτέον πεῖραν ἁπάντων, ὅσωνπερ καὶ ὁ πόλεμος πεῖραν λαμβάνει. ἔστι δὲ ταῦτα, τάφρους διαπηδᾶν, τειχία ὑπερβαίνειν, ἐπ' ὄχθους ἀνορούειν, ἀπ' ὄχθων καθάλλεσθαι· καὶ πρὸς ἄνω τες δὲ καὶ κατὰ πρανοῦς καὶ πλάγια ἐλαύνοντα πεῖραν λαμβάνειν· πάντα γὰρ ταῦτα καὶ τὴν ψυχὴν εἰ καρτερὰ καὶ τὸ σῶμα εἰ ὑγιὲς δοκιμάζει. οὐ μέντοι τὸν μὴ καλῶς πάνυ ταῦτα 8 ποιοῦντα ἀποδοκιμαστέον. πολλοὶ γὰρ οὐ διὰ τὸ μὴ

8 *παρ' ἑστ.* Zeune : *παρεστ.* | 9 *ἵππ.*] *ὀπτεύων* Löw. | *καὶ*, post *ἀγωγὴν* [10], ante *οἳ* transt. Schneid. | 14.15 *ἀδικόγναθος* Ruhnken.

δύνασθαι, ἀλλὰ διὰ τὸ ἄπειροι εἶναι τούτων ἐλλείπονται. μαθόντες δὲ καὶ ἐθισθέντες καὶ μελετήσαντες καλῶς ἂν ταῦτα πάντα ποιοῖεν, εἴ γ' ἄλλως ὑγιεῖς
9 καὶ μὴ κακοὶ εἶεν. τούς γε μέντοι ὑπόπτας φύσει φυλακτέον. οἱ γὰρ ὑπέρφοβοι βλάπτειν μὲν τοὺς πολεμίους ἀφ' ἑαυτῶν οὐκ ἐῶσι, τὸν δὲ ἀναβάτην ἔσφηλάν τε πολλάκις καὶ εἰς τὰ χαλεπώτατα ἐνέβαλον.
10 δεῖ δὲ καὶ εἴ τινα χαλεπότητα ἔχοι ὁ ἵππος, καταμανθάνειν, εἴτε πρὸς ἵππους εἴτε πρὸς ἀνθρώπους, καὶ εἰ δυσγάργαλός γε εἴη· πάντα γὰρ ταῦτα χαλεπὰ τοῖς
11 κεκτημένοις γίγνεται. τὰς δέ γε τῶν χαλινώσεων καὶ ἀναβάσεων ἀποκωλύσεις καὶ τἆλλα δὴ νεύματα πολὺ ἂν ἔτι μᾶλλον καταμάθοι τις, εἰ πεπονηκότος ἤδη τοῦ ἵππου πάλιν πειρῷτο ποιεῖν ταὐτὰ ὅσαπερ πρὶν ἄρξασθαι ἱππεύειν. ὅσοι δ' ἂν πεπονηκότες ἐθέλωσι
πάλιν ὑποδύεσθαι πόνους, ἱκανὰ τεκμήρια παρέχονται
12 ταῦτα ψυχῆς καρτερᾶς. ὡς δὲ συνελόντ' εἰπεῖν, ὅστις εὔπους μὲν εἴη, πρᾷος δέ, ἀρκούντως δὲ ποδώκης, ἐθέλοι δὲ καὶ δύναιτο πόνους ὑποφέρειν, πείθοιτο δὲ μάλιστα, οὗτος ἂν εἰκότως ἀλυπότατός τ' εἴη καὶ σωτηριώτατος τῷ ἀναβάτῃ ἐν τοῖς πολεμικοῖς. οἱ δὲ ἢ διὰ βλακείαν ἐλάσεως πολλῆς δεόμενοι ἢ διὰ τὸ ὑπέρθυμοι εἶναι πολλῆς θωπείας τε καὶ πραγματείας ἀσχολίαν μὲν ταῖς χερσὶ τοῦ ἀναβάτου παρέχουσιν, ἀθυμίαν δ' ἐν τοῖς κινδύνοις.

IV Ὅταν γε μὴν ἀγασθεὶς ἵππον πρίηταί τις καὶ οἴκαδε ἀγάγηται, καλὸν μὲν ἐν τοιούτῳ τῆς οἰκίας τὸν σταθμὸν εἶναι ὅπου πλειστάκις ὁ δεσπότης ὄψεται τὸν ἵππον· ἀγαθὸν δὲ οὕτω κατεσκευάσθαι τὸν ἱπ-

3 γ' Steph. om. A δ' cett. | 12 δὴ ν.] δινεύματα Steph. | 14 ταὐτὰ Weisk. : ταῦτα | 18 εὔνους Zeune εὔπνους Weisk. | 28 ὅπου Dind. : ὅποι.

πῶνα, ὥστε μηδὲν μᾶλλον οἰόν τ' εἶναι τὸν τοῦ ἵππου σῖτον κλαπῆναι ἐκ τῆς φάτνης ἢ τὸν τοῦ δεσπότου ἐκ τοῦ ταμιείου. ὁ δὲ τούτου ἀμελῶν ἐμοὶ μὲν ἑαυτοῦ δοκεῖ ἀμελεῖν· δῆλον γὰρ ὅτι ἐν τοῖς κινδύνοις τὸ αὐτοῦ σῶμα τῷ ἵππῳ ὁ δεσπότης παρακατατίθεται. ἔστι δὲ οὐ μόνον τοῦ μὴ κλέπτεσθαι 2 ἕνεκα τὸν σῖτον ἀγαθὸς ὁ ἐχυρὸς ἱππών, ἀλλ' ὅτι καὶ ὅταν πῃ ἐκκομίζῃ τὸν σῖτον ὁ ἵππος φανερὸν γίγνεται. τούτου δ' ἄν τις αἰσθόμενος γιγνώσκοι ὅτι ἢ τὸ σῶμα ὑπεραιμοῦν δεῖται θεραπείας ἢ κόπου ἐνόντος δεῖται ἀναπαύσεως ἢ κριθίασις ἢ ἄλλη τις ἀρρωστία ὑποδύεται. ἔστι δὲ ὥσπερ ἀνθρώπῳ, οὕτω καὶ ἵππῳ ἀρχόμενα πάντα εὐιατότερα ἢ ἐπειδὰν ἐνσκιρωθῇ τε καὶ ἐξαμαρτηθῇ τὰ νοσήματα. ὥσπερ δὲ 3 τοῦ ἵππου σίτου τε καὶ γυμνασίων ἐπιμελητέον, ὅπως ἂν τὸ σῶμα ἰσχύῃ, οὕτω καὶ τοὺς πόδας ἀσκητέον. τὰ μὲν τοίνυν ὑγρά τε καὶ λεῖα τῶν σταθμῶν λυμαίνεται καὶ ταῖς εὐφυέσιν ὁπλαῖς· τὰ δέ, ὡς μὲν μὴ ὑγρὰ εἶναι, ἀπόρρυτα, ὡς δὲ μὴ λεῖα, λίθους ἔχοντα κατορωρυγμένους, προσαλλήλους, παραπλησίους ὁπλαῖς τὸ μέγεθος*. τὰ γὰρ τοιαῦτα σταθμὰ καὶ ἐφεστηκότων ἅμα στερεοῖ τοὺς πόδας. ἔπειτά γε 4 μὴν τῷ ἱπποκόμῳ ἐξακτέον μὲν τὸν ἵππον ὅπου ψήξει, μεταδετέον δὲ μετὰ τὸ ἄριστον ἀπὸ τῆς φάτνης, ἵν' ἥδιον ἐπὶ τὸ δεῖπνον ἴῃ. ὡς δ' ἂν αὖ ὁ ἔξω σταθμὸς βέλτιστος εἴη καὶ τοὺς πόδας κρατύνοι, εἰ λίθων στρογγύλων ἀμφιδόχμων ὅσον μναιαίων ἁμάξας τέτταρας καὶ πέντε χύδην καταβάλοι, περιχει-

8 *πῃ ἐκκ.* Weisk. *μὴ ἐκκοπρίζῃ* Cour.: *μὴ ἐκκομίζῃ* | 16 *σῶμα* Camerarius: *στόμα* | 21 *τὰ γὰρ*] *ἄριστα* Diels | 26 *κρατύνοι* Poll. I 200: *κρατερύνει* s. *καρτερύνοι* s. *κατευρύνοι* | 27 *ἀμφιδόχμων* Poll.: *ἀμφιτόμων* | 28 *καὶ*] *ἢ* Schneid.

λώσας σιδήρῳ, ὡς ἂν μὴ σκεδαννύωνται· ἐπὶ γὰρ τούτων ἑστηκὼς ὥσπερ ἐν ὁδῷ λιθώδει ἀεὶ μέρος τῆς ἡμέρας πορεύοιτο ἄν. ἀνάγκη δὲ καὶ ψηχόμενον καὶ μυωπιζόμενον χρῆσθαι ταῖς ὁπλαῖς καθάπερ ὅταν βαδίζῃ. καὶ τὰς χελιδόνας δὲ τῶν ποδῶν οἱ οὕτω κεχυμένοι λίθοι στερεοῦσιν. ὡς δὲ περὶ τῶν ὁπλῶν ὅπως στερεαὶ ἔσονται ἐπιμελητέον, οὕτω καὶ τὰ περὶ τὸ στόμα αὖ ὅπως μαλακὰ ἔσται ἐπιμελεῖσθαι δεῖ. τὰ δ' αὐτὰ ἀνθρώπου τε σάρκα καὶ ἵππου στόμα ἀπαλύνει.

V Ἱππικοῦ δὲ ἀνδρὸς ἡμῖν δοκεῖ εἶναι καὶ τὸν ἱπποκόμον πεπαιδευκέναι ἃ δεῖ περὶ τὸν ἵππον πράττειν. πρῶτον μὲν τοίνυν τῆς ἐπιφατνιδίας φορβειᾶς ἐπίστασθαι αὐτὸν δεῖ μήποτε τὸ ἄμμα ποιεῖσθαι ἔνθαπερ ἡ κορυφαία περιτίθεται. πολλάκις γὰρ κνῶν ὁ ἵππος ἐπὶ τῇ φάτνῃ τὴν κεφαλήν, εἰ μὴ ἀσινὴς ἡ φορβειὰ περὶ τὰ ὦτα ἔσται, πολλάκις ἂν ἕλκη ποιοίη. ἑλκουμένων γε μὴν τούτων ἀνάγκη τὸν ἵππον καὶ περὶ τὸ χαλινοῦσθαι καὶ περὶ τὸ ψήχεσθαι δυσκολώτερον εἶναι. ἀγαθὸν 2 δὲ καὶ τὸ τετάχθαι τῷ ἱπποκόμῳ καθ' ἡμέραν τὴν κόπρον καὶ τὰ ὑποστρώματα τοῦ ἵππου ἐκφέρειν εἰς ἓν χωρίον. τοῦτο γὰρ ποιῶν αὐτός τ' ἂν ῥᾷστα ἀπαλλάττοι καὶ ἅμα τὸν ἵππον ὠφελοίη. εἰδέναι δὲ χρὴ 3 τὸν ἱπποκόμον καὶ τὸν κημὸν περιτιθέναι τῷ ἵππῳ, καὶ ὅταν ἐπὶ ψῆξιν καὶ ὅταν ἐπὶ καλίστραν ἐξάγῃ. καὶ ἀεὶ δὲ ὅποι ἂν ἀχαλίνωτον ἄγῃ κημοῦν δεῖ. ὁ γὰρ κημὸς ἀναπνεῖν μὲν οὐ κωλύει, δάκνειν δὲ οὐκ ἐᾷ· καὶ τὸ ἐπιβουλεύειν δὲ περικείμενος μᾶλλον ἐξαιρεῖ

---

1 *ἀνδήροις* Diels | 2 *ἀεὶ*] *ἀεὶ ἂν* Dind. *ἂν ἀεὶ* vel *ἂν* Hermann *ἂν* add. Diels | 13 *φορβειᾶς* Poll. I 201 om. A *φορβιᾶς* cett. | 15 *κνῶν* Cour. : *κινῶν*.

τῶν ἵππων. καὶ μὴν δεσμεύειν τὸν ἵππον ἄνωθεν 4
τῆς κεφαλῆς δεῖ. πάντα γὰρ ὁπόσα ἂν δύσκολ' ᾖ
περὶ τὸ πρόσωπον ὁ ἵππος ἐκνεύειν πέφυκεν ἄνω.
ἐκνεύων γε μὴν οὕτω δεδεμένος χαλᾷ μᾶλλον ἢ
διασπᾷ τὰ δεσμά. ἐπειδὰν δὲ ψήχῃ, ἄρχεσθαι μὲν ἀπὸ 5
τῆς κεφαλῆς καὶ τῆς χαίτης· μὴ γὰρ καθαρῶν τῶν ἄνω
ὄντων μάταιον τὰ κάτω καθαίρειν. ἔπειτα δὲ κατὰ μὲν
τὸ ἄλλο σῶμα πᾶσι τοῖς τῆς καθάρσεως ὀργάνοις ἀνι-
στάντα δεῖ τὴν τρίχα σοβεῖν τὴν κόνιν κατὰ φύσιν
τῆς τριχός· τῶν δ' ἐν τῇ ῥάχει τριχῶν ἄλλῳ μὲν
ὀργάνῳ οὐδενὶ δεῖ ἅπτεσθαι, ταῖς δὲ χερσὶ τρίβειν
καὶ ἀπαλύνειν, ἥπερ φύσει κέκλινται· ἥκιστα γὰρ ἂν
βλάπτοι τὴν ἕδραν τοῦ ἵππου. ὕδατι δὲ καταπλύνειν 6
τὴν κεφαλὴν χρή· ὀστώδης γὰρ οὖσα, εἰ σιδήρῳ ἢ
ξύλῳ καθαίροιτο, λυποῖ ἂν τὸν ἵππον. καὶ τὸ προ-
κόμιον δὲ χρὴ βρέχειν· καὶ γὰρ αὗται εὐμήκεις οὖ-
σαι αἱ τρίχες ὁρᾶν μὲν οὐ κωλύουσι τὸν ἵππον,
ἀποσοβοῦσι δὲ ἀπὸ τῶν ὀφθαλμῶν τὰ λυποῦντα.
καὶ τοὺς θεοὺς δὲ οἴεσθαι χρὴ δεδωκέναι ταύτας τὰς
τρίχας ἵππῳ ἀντὶ τῶν μεγάλων ὤτων ἃ ὄνοις τε καὶ
ἡμιόνοις ἔδοσαν ἀλεξητήρια πρὸ τῶν ὀμμάτων. καὶ 7
οὐρὰν δὲ καὶ χαίτην πλύνειν χρή, ἐπείπερ αὔξειν δεῖ
τὰς τρίχας, τὰς μὲν ἐν τῇ οὐρᾷ, ὅπως ἐπὶ πλεῖστον
ἐξικνούμενος ἀποσοβῆται ὁ ἵππος τὰ λυποῦντα, τὰς
δὲ ἐν τῷ τραχήλῳ ὅπως τῷ ἀναβάτῃ ὡς ἀφθονω-
τάτη ἀντίληψις ᾖ. δέδοται δὲ παρὰ τῶν θεῶν καὶ 8
ἀγλαΐας ἕνεκεν ἵππῳ χαίτη καὶ προκόμιόν τε καὶ
οὐρά. τεκμήριον δέ· αἱ γὰρ ἀγελαῖαι τῶν ἵππων οὐχ
ὁμοίως ὑπομένουσι τοὺς ὄνους ἐπὶ τῇ ὀχείᾳ ἕως ἂν
κομῶσιν· οὗ ἕνεκα καὶ ἀποκείρουσι πρὸς τὴν ὀχείαν

9 ἀποσοβεῖν Schneid. e Poll. | 9.10 κατὰ - τριχὸς susp. P. | κατὰ δὲ τὴν κνήμην add. ante κατὰ Diels e Poll.

9 τὰς ἵππους ἅπαντες οἱ ὀνοβατοῦντες. τήν γε μὴν τῶν σκελῶν κατάπλυσιν ἀφαιροῦμεν· ὠφελεῖ μὲν γὰρ οὐδέν, βλάπτει δὲ τὰς ὁπλὰς ἡ καθ' ἑκάστην ἡμέραν βρέξις. καὶ τὴν ὑπὸ γαστέρα δὲ ἄγαν κάθαρσιν μειοῦν χρή· αὕτη γὰρ λυπεῖ μὲν μάλιστα τὸν ἵππον, ὅσῳ δ' ἂν καθαρώτερα ταῦτα γένηται, τοσούτῳ πλείω 10 τὰ λυποῦντα ἀθροίζει ὑπὸ τὴν γαστέρα· ἢν δὲ καὶ πάνυ διαπονήσηταί τις ταῦτα, οὐ φθάνει τ' ἐξαγόμενος ὁ ἵππος καὶ εὐθὺς ὅμοιός ἐστι τοῖς ἀκαθάρτοις. ταῦτα μὲν οὖν ἐᾶν χρή· ἀρκεῖ δὲ καὶ ἡ τῶν σκελῶν ψῆξις αὐταῖς ταῖς χερσὶ γιγνομένη.

VI Δηλώσομεν δὲ καὶ τοῦτο ὡς ἂν ἀβλαβέστατα μέν τις ἑαυτῷ, τῷ δ' ἵππῳ ὠφελιμώτατα ψήχοι. ἢν μὲν γὰρ εἰς τὸ αὐτὸ βλέπων τῷ ἵππῳ καθαίρῃ, κίνδυνος 2 καὶ τῷ γόνατι καὶ τῇ ὁπλῇ εἰς τὸ πρόσωπον πληγῆναι· ἢν δὲ ἀντία τῷ ἵππῳ ὁρῶν καὶ ἔξω τοῦ σκέλους, ὅταν καθαίρῃ, κατὰ τὴν ὠμοπλάτην καθίζων ἀποτρίβῃ, οὕτω πάθοι μὲν ἂν οὐδέν, δύναιτο δ' ἂν καὶ τὴν χελιδόνα τοῦ ἵππου θεραπεύειν ἀναπτύσσον τὴν ὁπλήν. ὡς δ' αὕτως καὶ τὰ ὄπισθεν σκέλη καθαιρέτω. 3 εἰδέναι δὲ χρὴ τὸν περὶ τὸν ἵππον ὅτι καὶ ταῦτα καὶ τἆλλα πάντα ὅσα πράττειν δεῖ ὡς ἥκιστα χρὴ κατὰ τὸ πρόσωπόν τε καὶ οὐρὰν ἀντίον ἑαυτὸν ποιήσαντα προσιέναι· ἢν γὰρ ἐπιχειρῇ ἀδικεῖν, κατ' ἀμφότερα ταῦτα κρείττων ὁ ἵππος ἀνθρώπου. ἐκ πλαγίου δ' ἄν τις προσιὼν ἀβλαβέστατα μὲν ἑαυτῷ, πλεῖστα δ' 4 ἂν ἵππῳ δύναιτο χρῆσθαι. ἐπειδὰν δὲ ἄγειν δέῃ τὸν ἵππον, τὴν μὲν ὄπισθεν ἀγωγὴν διὰ τάδε οὐκ ἐπαινοῦμεν, ὅτι τῷ μὲν ἄγοντι οὕτως ἥκιστα ἔστι φυ-

---

8 τ' del. Zeune γε Richards τι Weisk. | 17 βαδίζων Richards κατιὼν Schneid. | 23 [τὸ] C. | 26 λῷστα Madvig ῥᾷστα Richards κάλλιστα Herw. μάλιστα P. | τῷ ἵππῳ Richards.

λάξασθαι, τῷ δὲ ἵππῳ οὕτω μάλιστα ἔξεστι ποιῆσαι ὅ,τι ἂν βούληται. τὸ δ' αὖ ἔμπροσθεν μακρῷ τῷ 5
ἀγωγεῖ προϊόντα διδάσκειν ὑφηγεῖσθαι τὸν ἵππον διὰ
τάδε αὖ ψέγομεν· ἔξεστι μὲν γὰρ τῷ ἵππῳ καὶ καθ'
5 ὁπότερ' ἂν βούληται τῶν πλαγίων κακουργεῖν, ἔξεστι
δὲ ἀναστρεφόμενον ἀντίον γίγνεσθαι τῷ ἄγοντι. ἀ- 6
θρόοι δὲ δὴ ἵπποι πῶς ἄν ποτε ἀλλήλων δύναιντο
ἀπέχεσθαι οὕτως ἀγόμενοι; ἐκ πλαγίου δὲ ἵππος
ἐθισθεὶς παράγεσθαι ἥκιστα μὲν ἂν καὶ ἵππους καὶ
10 ἀνθρώπους δύναιτ' ἂν κακουργεῖν, κάλλιστα δ' ἂν
παρεσκευασμένος τῷ ἀναβάτῃ εἴη καὶ εἴ ποτε ἐν τά-
χει ἀναβῆναι δεήσειεν. ἵνα δὲ ὁ ἱπποκόμος καὶ τὸν 7
χαλινὸν ὀρθῶς ἐμβάλῃ, πρῶτον μὲν προσίτω κατὰ
τὰ ἀριστερὰ τοῦ ἵππου· ἔπειτα τὰς μὲν ἡνίας περι-
15 βαλὼν περὶ τὴν κεφαλὴν καθέτω ἐπὶ τῇ ἀκρωμίᾳ,
τὴν δὲ κορυφαίαν τῇ δεξιᾷ αἰρέτω, τὸ δὲ στόμιον
τῇ ἀριστερᾷ προσφερέτω. κἂν μὲν δέχηται, δῆλον 8
ὅτι περιτιθέναι δεῖ τὸν κεκρύφαλον· ἐὰν δὲ μὴ ὑπο-
χάσκῃ, ἔχοντα δεῖ πρὸς τοῖς ὀδοῦσι τὸν χαλινὸν τὸν
20 μέγαν δάκτυλον τῆς ἀριστερᾶς χειρὸς ἔσω τῆς γνά-
θου τῷ ἵππῳ ποιῆσαι. οἱ γὰρ πολλοὶ τούτου γιγνο-
μένου χαλῶσι τὸ στόμα. ἢν δὲ μηδ' οὕτω δέχηται,
πιεσάτω τὸ χεῖλος περὶ τῷ κυνόδοντι· καὶ πάνυ
τινὲς ὀλίγοι οὐ δέχονται τοῦτο πάσχοντες. δεδιδάχθω 9
25 δὲ καὶ τάδε ὁ ἱπποκόμος, πρῶτον μὲν μήποτε ἄγειν
τῆς μιᾶς ἡνίας τὸν ἵππον· τοῦτο γὰρ ἑτερογνάθους
ποιεῖ· ἔπειτα δὲ ὅσον δεῖ ἀπέχειν τὸν χαλινὸν τῶν
γνάθων. ὁ μὲν γὰρ ἄγαν πρὸς αὐταῖς τυλοῖ τὸ στόμα,
ὥστε μὴ εὐαίσθητον εἶναι, ὁ δὲ ἄγαν εἰς ἄκρον τὸ
30 στόμα καθιέμενος ἐξουσίαν παρέχει συνδάκνοντι τὸ

---

2 [τῷ] Schneid. | 3 ὑπαγωγεῖ Castalio | 5 ἐκ add. ante τῶν Schneid. | 26 μιᾶς add. P. praeeunte Schneid.

10 στόμιον μὴ πείθεσθαι. χρὴ δὲ τὸν ἱπποκόμον καὶ
τὰ τοιάδε παρατηρεῖν, εἰ μὴ ῥᾳδίως τὸν χαλινὸν ὁ
ἵππος δέχεται αἰσθανόμενος, ὅτι δεῖ πονεῖν. οὕτω
γὰρ δὴ μέγα ἐστὶ τὸ λαμβάνειν ἐθέλειν τὸν ἵππον
τὸν χαλινόν, ὡς ὁ μὴ δεχόμενος παντάπασιν ἄχρη- 5
11 στος. ἦν δὲ μὴ μόνον ὅταν πονεῖν μέλλῃ χαλινῶται,
ἀλλὰ καὶ ὅταν ἐπὶ τὸν σῖτον καὶ ὅταν ἐξ ἱππασίας
εἰς οἶκον ἀπάγηται, οὐδὲν ἂν εἴη θαυμαστὸν εἰ ἁρ-
12 πάζοι τὸν χαλινὸν αὐτόματος προτεινόμενον. ἀγαθὸν
δὲ τὸν ἱπποκόμον καὶ ἀναβάλλειν ἐπίστασθαι τὸν 10
Περσικὸν τρόπον, ὅπως αὐτός τε ὁ δεσπότης, ἢν
ποτε ἀρρωστήσῃ ἢ πρεσβύτερος γίγνηται, ἔχῃ τὸν
εὐπετῶς ἀναβιβάσοντα, καὶ ἄλλῳ ἤν τινι βούληται
13 τὸν ἀναβαλοῦντα ἐπιχαρίσηται. τὸ δὲ μήποτε σὺν
ὀργῇ τῷ ἵππῳ προσφέρεσθαι, ἓν τοῦτο καὶ δίδαγμα 15
καὶ ἔθισμα πρὸς ἵππον ἄριστον. ἀπρονόητον γὰρ ἡ
ὀργή, ὥστε πολλάκις ἐξεργάζεται ὧν μεταμέλειν ἀνά-
14 γκη. καὶ ὅταν δὲ ὑποπτεύσας τι ὁ ἵππος μὴ θέλῃ
πρὸς τοῦτο προσιέναι, διδάσκειν δεῖ ὅτι οὐ δεινά ἐστι,
μάλιστα μὲν οὖν ἵππῳ εὐκαρδίῳ, εἰ δὲ μή, ἀπτόμε- 20
νον αὐτὸν τοῦ δεινοῦ δοκοῦντος εἶναι καὶ τὸν ἵππον
15 πρᾴως προσάγοντα. οἱ δὲ πληγαῖς ἀναγκάζοντες ἔτι
πλείω φόβον παρέχουσιν· οἴονται γὰρ οἱ ἵπποι, ὅταν
τι χαλεπὸν πάσχωσιν ἐν τῷ τοιούτῳ, καὶ τούτου τὰ
16 ὑποπτευόμενα αἴτια εἶναι. ἐπειδάν γε μὴν ὁ ἱππο- 25
κόμος τὸν ἵππον παραδιδῷ τῷ ἀναβάτῃ, τὸ μὲν
ἐπίστασθαι ὑποβιβάζεσθαι τὸν ἵππον, ὥστε εὐπετὲς
εἶναι ἀναβῆναι, οὐ μεμφόμεθα· τόν γε μέντοι ἱππέα
νομίζομεν χρῆναι μελετᾶν καὶ μὴ παρέχοντος ἵππου

---

19 *δεινὸν* Schneid. *τὰ τοιαῦτα* post *δεινὰ* add. Richards | 26 *παραδῷ* Weisk.

δύνασθαι ἀναβαίνειν. ἄλλοτε μὲν γὰρ ἀλλοῖος ἵππος παραπίπτει, ἄλλοτε δὲ ἄλλως ὁ αὐτὸς ὑπηρετεῖ.

Ὅταν γε μὴν παραδέξηται τὸν ἵππον ὡς ἀναβη- VII
σόμενος, νῦν αὖ γράψομεν ὅσα ποιῶν ὁ ἱππεὺς καὶ ἑαυτῷ καὶ τῷ ἵππῳ ὠφελιμώτατος ἂν ἐν τῇ ἱππικῇ εἴη. πρῶτον μὲν τοίνυν τὸν ζυταγωγέα χρὴ ἐκ τῆς ὑποχαλινιδίας ἢ ἐκ τοῦ ψαλίου ἠρτημένον εὐτρεπῆ εἰς τὴν ἀριστερὰν χεῖρα λαβεῖν, καὶ οὕτω χαλαρὸν ὡς μήτ' ἂν ἀνιὼν τῶν τριχῶν παρὰ τὰ ὦτα λαβόμενος μέλλῃ ἀναβήσεσθαι μήτ' ἂν ἀπὸ δόρατος ἀναπηδᾷ, σπᾶν τὸν ἵππον. τῇ δεξιᾷ δὲ τὰς ἡνίας παρὰ τὴν ἀκρωμίαν λαμβανέτω ὁμοῦ τῇ χαίτῃ, ὅπως μηδὲ καθ' ἕνα τρόπον ἀναβαίνων σπάσῃ τῷ χαλινῷ τὸ στόμα τοῦ ἵππου. ἐπειδὰν δὲ ἀνακουφίσῃ ἑαυτὸν 2
εἰς τὴν ἀνάβασιν, τῇ μὲν ἀριστερᾷ ἀνιμάτω τὸ σῶμα, τὴν δὲ δεξιὰν ἐκτείνων συνεπαιρέτω ἑαυτόν· (οὕτω γὰρ ἀναβαίνων οὐδὲ ὄπισθεν αἰσχρὰν θέαν παρέξει) συγκεκαμμένῳ τῷ σκέλει, καὶ μηδὲ τὸ γόνυ ἐπὶ τὴν ῥάχιν τοῦ ἵππου τιθέτω, ἀλλ' ὑπερβησάτω ἐπὶ τὰς δεξιὰς πλευρὰς τὴν κνήμην. ὅταν δὲ περιενέγκῃ τὸν πόδα, τότε καὶ τὼ γλουτὼ καθέτω ἐπὶ τὸν ἵππον. ἦν δὲ τύχῃ ὁ ἱππεὺς τῇ μὲν ἀριστερᾷ ἄγων τὸν ἵππον, τῇ δὲ δεξιᾷ τὸ δόρυ ἔχων, ἀγαθὸν μὲν ἡμῖν δοκεῖ εἶναι τὸ καὶ ἐκ τῶν δεξιῶν μελετῆσαι ἀναπηδᾶν. μαθεῖν δ' οὐδὲν δεῖ ἄλλο ἢ ἃ μὲν τότε τοῖς δεξιοῖς τοῦ σώματος ἐποίει τοῖς ἀριστεροῖς ποιεῖν, ἃ δὲ τότε τοῖς ἀριστεροῖς τοῖς δεξιοῖς. τούτου δ' ἕνεκεν 4
καὶ ταύτην ἐπαινοῦμεν τὴν ἀνάβασιν, ὅτι ἅμα τε ἀναβεβηκὼς ἂν εἴη καὶ κατεσκευασμένος πάντα, εἴ

---

2 ἄλλῳ Dind. | 3.4 *ἵππον - ἀναβησόμενος* Camerarius : *ἱππέα - ἀναβηδόμενον* | 9 *ἀνιμῶν* Steph. | 18 *μηδὲ* Hermann, quod, *καὶ* deleto, vel *μὴ* Richards : *μήτε* | 21 *καταθέτω* Steph.

5 τι δέοι ἐξαίφνης πρὸς πολεμίους ἀγωνίζεσθαι. ἐπειδάν γε μὴν καθίζηται ἐάν τε ἐπὶ ψιλοῦ ἐάν τε ἐπὶ τοῦ ἐφιππίου, οὐ τὴν ὥσπερ ἐπὶ τοῦ δίφρου ἕδραν ἐπαινοῦμεν, ἀλλὰ τὴν ὥσπερ εἰ ὀρθὸς ἂν διαβεβηκὼς εἴη τοῖν σκελοῖν. τοῖν τε γὰρ μηροῖν οὕτως ἂν ἔχοιτο μᾶλλον τοῦ ἵππου, καὶ ὀρθὸς ὢν ἐρρωμενεστέρως ἂν δύναιτο καὶ ἀκοντίσαι καὶ πατάξαι ἀπὸ τοῦ ἵππου,
6 εἰ δέοι. χρὴ δὲ καὶ χαλαρὰν ἀπὸ τοῦ γόνατος ἀφεῖσθαι τὴν κνήμην σὺν τῷ ποδί. σκληρὸν μὲν γὰρ ἔχων τὸ σκέλος εἰ προσκόψειέ τῳ, προσκεκλασμένος ἂν εἴη· ὑγρὰ δὲ οὖσα ἡ κνήμη, εἴ τι καὶ προσπίπτοι αὐτῇ, ὑπείκοι ἂν καὶ τὸν μηρὸν οὐδὲν μετακινοίη.
7 δεῖ δὲ τὸν ἱππέα καὶ τὸ ἄνωθεν τῶν ἑαυτοῦ ἰσχίων σῶμα ὡς ὑγρότατον ἐθίζειν εἶναι. οὕτω γὰρ ἂν πονεῖν τε ἔτι μᾶλλον δύναιτο, καὶ εἰ ἕλκοι τις αὐτὸν
8 ἢ ὠθοίη, ἧττον ἂν σφάλλοιτο. ἐπειδάν γε μὴν καθίζηται, πρῶτον μὲν ἠρεμεῖν δεῖ διδάσκειν τὸν ἵππον, ἕως ἂν καὶ ὑποσπάσηται, ἤν τι δέηται, καὶ ἡνίας ἰσώσηται, καὶ δόρυ λαβεῖν ὡς ἂν εὐφορώτατον εἴη· ἔπειτα δὲ ἐχέτω τὸν ἀριστερὸν βραχίονα πρὸς ταῖς πλευραῖς· οὕτω γὰρ εὐσταλέστατός τε ὁ ἱππεὺς ἔσται
9 καὶ ἡ χεὶρ ἐγκρατεστάτη. ἡνίας γε μὴν ἐπαινοῦμεν ὁποῖαι ἴσαι τέ εἰσι καὶ μὴ ἀσθενεῖς μηδὲ ὀλισθηραὶ μηδὲ παχεῖαι, ἵνα καὶ τὸ δόρυ ὅταν δέῃ δέχεσθαι ἡ χεὶρ δύνηται.

10 Ὅταν δὲ προχωρεῖν σημήνῃ τῷ ἵππῳ, βάδην μὲν ἀρχέσθω· τοῦτο γὰρ ἀταρακτότατον. ἡνιοχείτω δέ, ἢν μὲν κυφαγωγότερος ᾖ ὁ ἵππος, ἀνωτέρω ταῖς χερσίν, ἢν δὲ μᾶλλον ἀνακεκυφώς, κατωτέρω· οὕτω γὰρ
11 ἂν μάλιστα κοσμοίη τὸ σχῆμα. μετὰ δὲ ταῦτα τὸν

---

3 [τοῦ] C. | 16.17 *κάθηται* Dind. | 19 *λάβῃ* Castalio | 28.29 [*ταῖς χερσίν*] Herw.

αὐτωφυῆ διατροχάζων διαχαλῴη τ' ἂν ἀλυπότατα τὸ σῶμα καὶ εἰς τὸ ἐπιρραβδοφορεῖν ἥδιστ' ἂν ἀφικνοῖτο. ἐπείπερ δὲ καὶ ἀπὸ τῶν ἀριστερῶν ἄρχεσθαι εὐδοκιμώτερον, ὥδ' ἂν μάλιστα ἀπὸ τούτων ἄρχοιτο, εἰ διατροχάζοντος μέν, ὁπότε ἀναβαίνοι τῷ δεξιῷ, τότε σημαίνοι τῷ ἵππῳ τὸ ἐπιρραβδοφορεῖν. τὸ γὰρ 12 ἀριστερὸν μέλλων αἴρειν ἐκ τούτου ἂν ἄρχοιτο, καὶ ὁπότε ἐπὶ τὰ εὐώνυμα ἀναστρέφοι, τότε καὶ τῆς ἐπισκελίσεως ἄρχοιτο. καὶ γὰρ πέφυκεν ὁ ἵππος εἰς μὲν τὰ δεξιὰ στρεφόμενος τοῖς δεξιοῖς ἀφηγεῖσθαι, εἰς εὐώνυμα δὲ τοῖς ἀριστεροῖς. ἱππασίαν δὲ ἐπαινοῦμεν 13 τὴν πέδην καλουμένην· ἐπ' ἀμφοτέρας γὰρ τὰς γνάθους στρέφεσθαι ἐθίζει. καὶ τὸ μεταβάλλεσθαι δὲ τὴν ἱππασίαν ἀγαθόν, ἵνα ἀμφότεραι αἱ γνάθοι καθ' ἑκάτερον τῆς ἱππασίας ἰσάζωνται. ἐπαινοῦμεν 14 δὲ καὶ τὴν ἑτερομήκη πέδην μᾶλλον τῆς κυκλοτεροῦς. ἥδιον μὲν γὰρ οὕτως ἂν ἀναστρέφοιτο ὁ ἵππος ἤδη πλήρης ὢν τοῦ εὐθέος, καὶ τό τε ὀρθοδρομεῖν καὶ τὸ ἀποκάμπτειν ἅμα μελετῴη ἄν. δεῖ δὲ καὶ ὑπο- 15 λαμβάνειν ἐν ταῖς στροφαῖς· οὐ γὰρ ῥᾴδιον τῷ ἵππῳ οὐδ' ἀσφαλὲς ἐν τῷ τάχει ὄντα κάμπτειν ἐν μικρῷ, ἄλλως τε κἂν ἀπόκροτον ᾖ ὀλισθηρὸν ᾖ τὸ χωρίον. ὅταν γε μὴν ὑπολαμβάνῃ, ὡς ἥκιστα μὲν χρὴ τὸν 16 ἵππον πλαγιοῦν τῷ χαλινῷ, ὡς ἥκιστα δ' αὐτὸν πλαγιοῦσθαι· εἰ δὲ μή, εὖ χρὴ εἰδέναι, ὅτι μικρὰ πρόφασις ἀρκέσει κεῖσθαι καὶ αὐτὸν καὶ τὸν ἵππον. ἐπειδάν γε μὴν ἐκ τῆς στροφῆς εἰς τὸ εὐθὺ βλέπῃ 17 ὁ ἵππος, ἐν τούτῳ πρὸς τὸ θᾶττον αὐτὸν ὁρμάτω.

2 *ἐπιρραβδ.* Dind.: *ἐπιραβδ.* | 3 *ἐπείπερ δὲ* Hermann: *ἐπεὶ δέ περ* | 5 *ὁπότ' ἂν βαίνῃ* Cour. *ὁπόταν ἐμβαίνοι* Hermann | 8 *στρέφοιτο* Schneid. | 8.9 *ἐπισκελίσεως* Poll. I 214: *ἐπικλίσεως* libri | 17 *ἂν* add. Dind. | *ἂν στρέφοιτο* Schneid. | 22 *ἐπίκροτον* Löw.

δῆλον γὰρ ὅτι καὶ ἐν τοῖς πολέμοις αἱ στροφαί εἰσιν τοῦ διώκειν ἢ τοῦ ἀποχωρεῖν ἕνεκα. ἀγαθὸν οὖν
18 τὸ στραφέντα ταχύνειν μελετᾶν. ὅταν δὲ ἱκανῶς ἤδη δοκῇ τὸ γυμνάσιον τῷ ἵππῳ ἔχειν, ἀγαθὸν καὶ διαναπαύσαντα ὁρμῆσαι αὖθις εἰς τὸ τάχιστον, καὶ ἀφ' ἵππων μέντοι καὶ πρὸς ἵππους· καὶ ἐκ τοῦ ταχέος αὖ ὡς ἐγγυτάτω ἠρεμίζειν, καὶ ἐκ τοῦ ἑστάναι δὲ στρέψαντα δεῖ πάλιν ὁρμᾶν. πρόδηλον γὰρ ὅτι ἔσται
19 ποτὲ ὅτε ἑκάστου τούτων δεήσει. ὅταν γε μὴν καταβαίνειν ἤδη καιρὸς ᾖ, μήτε ἐν ἵπποις ποτὲ καταβαίνειν μήτε παρὰ σύστασιν ἀνθρώπων μήτ' ἔξω τῆς ἱππασίας, ἀλλ' ὅπουπερ καὶ πονεῖν ἀναγκάζεται ὁ ἵππος, ἐνταῦθα καὶ τῆς ῥᾳστώνης τυγχανέτω.

VIII Ἐπειδήπερ ἔστιν ὅπου τρέχειν δεήσει τὸν ἵππον καὶ πρανῆ καὶ ὄρθια καὶ πλάγια, ἔστι δ' ὅπου διαπηδᾶν, ἔστι δ' ὅπου καὶ ἐκπηδᾶν, ἔνθα δὲ καθάλλεσθαι, καὶ ταῦτα πάντα διδάσκειν τε δεῖ καὶ μελετᾶν καὶ αὐτὸν [καθόλου] καὶ τὸν ἵππον. οὕτω γὰρ ἂν σωτήριοί τε εἶεν ἀλλήλοις καὶ χρησιμώτεροι ἂν δοκοῖεν
2 εἶναι. εἰ δέ τις διλογεῖν ἡμᾶς οἴεται, ὅτι περὶ τῶν αὐτῶν λέγομεν νῦν τε καὶ πρόσθεν, οὐ διλογία ταῦτ' ἐστίν. ὅτε μὲν γὰρ ἐωνεῖτο, πειρᾶσθαι ἐκελεύομεν, εἰ δύναιτο ὁ ἵππος ταῦτα ποιεῖν· νῦν δὲ διδάσκειν φαμὲν χρῆναι τὸν ἑαυτοῦ καὶ γράψομεν ὡς δεῖ διδά-
3 σκειν. τὸν μὲν γὰρ παντάπασιν ἄπειρον τοῦ διαπηδᾶν λαβόντα δεῖ τοῦ ἀγωγέως καταβεβλημένου προδιαβῆναι αὐτὸν τὴν τάφρον, ἔπειτα δὲ ἐντείνειν δεῖ
4 τῷ ἀγωγεῖ ὡς διάλληται. ἢν δὲ μὴ ἐθέλῃ, ἔχων τις μάστιγα ἢ ῥάβδον ἐμβαλέτω ὡς ἰσχυρότατα· καὶ οὕ-

5 *αὖθις* A *ἐξαίφνης* cett. | 6 *καὶ πρὸς* Camerarius: *μὴ πρὸς* | 14 *δὲ* add. post *ἐπειδήπερ* Richards | 15 *ὄρθια* Cour.: *ὄρεια* | 18 *καθόλου* del. Dind. | 26 *καταβεβλ.* Steph.: *-ον* | 28 *διάλληται* Richards.

τως ὑπεραλεῖται οὐ τὸ μέτρον, ἀλλὰ πολὺ πλεῖον τοῦ καιροῦ· καὶ τὸ λοιπὸν οὐδὲν δεήσει παίειν, ἀλλ' ἢν μόνον ἴδῃ ὄπισθέν τινα ἐπελθόντα, ἁλεῖται. ἐπειδὰν 5 δὲ οὕτω διαπηδᾶν ἐθισθῇ, καὶ ἀναβεβηκὼς ἐπαγέτω 5 τὸ μὲν πρῶτον μικράς, ἔπειτα δὲ καὶ μείζους. ὅταν δὲ μέλλῃ πηδᾶν, παισάτω αὐτὸν τῷ μύωπι. ὡσαύτως δὲ δεῖ καὶ τὸ ἀναπηδᾶν καὶ τὸ καταπηδᾶν διδάσκειν παίσαντα τῷ μύωπι. ἀθρόῳ γὰρ τῷ σώματι ταῦτα πάντα ποιῶν καὶ ἑαυτῷ ὁ ἵππος καὶ τῷ ἀνα- 10 βάτῃ ἀσφαλέστερον ποιήσει μᾶλλον ἢ ἂν ἐλλείπῃ τὰ ὄπισθεν ἢ διαπηδῶν ἢ ἀνορούων ἢ καθαλλόμενος. εἷς 6 γε μὴν τὸ κάταντες, πρῶτον χρὴ ἐν μαλακῷ χωρίῳ διδάσκειν. καὶ τελευτῶν, ἐπειδὰν τοῦτο ἐθισθῇ, πολὺ ἥδιον τὸ πρανὲς τοῦ ὀρθίου δραμεῖται. ἃ δὲ φοβοῦνταί 15 τινες μὴ ἀπορρηγνύωνται τοὺς ὤμους κατὰ τὰ πρανῆ ἐλαυνόμενοι, μαθέτωσαν ὅτι Πέρσαι καὶ Ὀδρύσαι ἅπαν εἰς τὰ κατάντη ἁμιλλώμενοι οὐδὲν ἧττον τῶν Ἑλλήνων ὑγιεῖς τοὺς ἵππους ἔχουσι. παρήσομεν δὲ οὐδὲ ὅπως 7 τὸν ἀναβάτην ὑπηρετεῖν δεῖ πρὸς ἕκαστα τούτων. 20 χρὴ γὰρ ὁρμῶντος μὲν ἐξαίφνης τοῦ ἵππου προνεύειν· ἧττον γὰρ ἂν καὶ ὑποδύοι ὁ ἵππος καὶ ἀναβάλοι τὸν ἀναβάτην· ἐν μικρῷ δὲ ἀναλαμβανομένου ἀναπίπτειν· ἧττον γὰρ ἂν αὐτὸς κόπτοιτο· τάφρον 8 δὲ διαλλομένου καὶ πρὸς ὄρθιον ἰεμένου καλὸν 25 χαίτης ἐπιλαμβάνεσθαι, ὡς μὴ ὁ ἵππος τῷ τε χωρίῳ ἅμα καὶ τῷ χαλινῷ βαρύνηται. εἷς γε μὴν τὸ πρανὲς καὶ ἑαυτὸν ὑπτιώτερον ποιητέον καὶ τοῦ ἵππου ἀν-

4 *ἀγέτω* Schneid. | 5 *ἐπὶ* add. ante *μικρὰς* Schneid. Löw. itemque ante *μείζους* Schneid. | 7 *δεῖ* add. P., post *διδάσκειν* add. Tomm. | 10 *ἂν ἐλλείπῃ* Löw. : *ἀνεναειπη* (multipl. acc.) | 16.17 *ἅπαν εἰς* P. *ἅπαντες εἰς* Steph. : *ἅπαντες* | 21.22 *ἀναβάλοι* C. : *ἀναβάλλοι*.

τιληπτέον τῷ χαλινῷ, ὡς μὴ προπετῶς εἰς τὸ κάταντες μήτε αὐτὸς μήτε ὁ ἵππος φέρηται.

9 Ὀρθῶς δ' ἔχει καὶ τὸ ἄλλοτε μὲν ἐν ἄλλοις τόποις, ἄλλοτε δὲ μακρὰς ἄλλοτε δὲ βραχείας τὰς ἱππασίας ποιεῖσθαι. ἀμισέστερα γὰρ καὶ ταῦτα τῷ ἵππῳ τοῦ ἀεὶ ἐν τοῖς αὐτοῖς τόποις καὶ ὁμοίας τὰς ἱππασίας 10 ποιεῖσθαι. ἐπεὶ δὲ δεῖ ἐν παντοίοις τε χωρίοις τὸν ἱππέα ἀνὰ κράτος ἐλαύνοντα ἔποχον εἶναι καὶ ἀπὸ τοῦ ἵππου τοῖς ὅπλοις καλῶς δύνασθαι χρῆσθαι, ὅπου μέν ἐστι χωρία ἐπιτήδεια καὶ θηρία, ἄμεμπτος ἢ ἐν θήραις μελέτη τῆς ἱππικῆς· ὅπου δὲ ταῦτα μὴ ὑπάρχει, ἀγαθὴ ἄσκησις καὶ ἦν δύο ἱππότα συντιθεμένω ὁ μὲν φεύγῃ ἐπὶ τοῦ ἵππου παντοῖα χωρία, καὶ τὸ δόρυ εἰς τοὔπισθεν μεταβαλλόμενος ὑποχωρῇ, ὁ δὲ διώκῃ, ἐσφαιρωμένα τε ἔχων ἀκόντια καὶ δόρυ ὡσαύ- 15 τως πεπραγματευμένον· καὶ ὅπου μὲν ἂν εἰς ἀκόντιον ἀφικνῆται, ἀκοντίζῃ τὸν φεύγοντα τοῖς σφαιρωτοῖς· ὅπου δ' ἂν εἰς δόρατος πληγήν, τῷ δόρατι παίῃ 11 τὸν ἁλισκόμενον. ἀγαθὸν δὲ κἂν ποτε συμπέσωσιν, ἑλκύσαντα ἐφ' ἑαυτὸν τὸν πολέμιον ἐξαίφνης ἀπῶ- 20 σαι· τοῦτο γὰρ καταβλητικόν. ὀρθῶς δὲ ἔχει καὶ τῷ ἑλκομένῳ ἐπελαύνειν τὸν ἵππον· τοῦτο γὰρ ποιῶν ὁ ἑλκόμενος καταβάλοι ἂν μᾶλλον τὸν ἕλκοντα ἢ κα- 12 ταπέσοι. ἦν δέ ποτε καὶ στρατοπέδου ἀντικαθημένου ἀνθιππεύωσιν ἀλλήλοις, καὶ διώκωσι μὲν μέχρι τῆς 25 πολεμίας φάλαγγος τοὺς ἀντίους, φεύγωσι δὲ μέχρι τῆς φιλίας, ἀγαθὸν καὶ ἐνταῦθα ἐπίστασθαι ὅτι, ἕως μὲν ἂν παρὰ τοὺς φίλους τις ᾖ, καλὸν καὶ ἀσφαλὲς τὸ ἐν πρώτοις ἀναστρέψαντα ἀνὰ κράτος ἐπικεῖσθαι, ὅταν δ' ἐγγὺς τῶν ἐναντίων γίγνηται, ὑποχείριον τὸν 30

---

8 ἱππέα Hartman : ἵππον | 11.12 δὲ - ὑπάρχει] δ' ἂν... ὑπάρχῃ Steph. | 27 καὶ] δὴ Cour. | 28 ᾖ Steph.

ἵππον ἔχειν. οὕτω γὰρ ἂν ὡς τὸ εἰκὸς μάλιστα δύναιτο βλάπτων τοὺς ἐναντίους μὴ βλάπτεσθαι ὑπ' αὐτῶν. ἀνθρώποις μὲν οὖν ἄνθρωπον ἔδοσαν οἱ 13 θεοὶ λόγῳ διδάσκειν ἃ δεῖ ποιεῖν, ἵππον δὲ δῆλον ὅτι λόγῳ μὲν οὐδὲν ἂν διδάξαις· ἢν δὲ ὅταν μὲν ποιήσῃ ὡς ἂν βούλοιο, ἀντιχαρίσῃ τι αὐτῷ, ὅταν δὲ ἀπειθῇ, κολάσῃς, οὕτω μάλιστ' ἂν μάθοι τὸ δέον ὑπηρετεῖν. καὶ ἔστι μὲν τοῦτο ἐν βραχεῖ εἰπεῖν, δι' 14 ὅλης δὲ τῆς ἱππικῆς παρακολουθεῖ. καὶ γὰρ χαλινὸν μᾶλλον ἂν λαμβάνοι, εἴ ὁπότε δέξαιτο ἀγαθόν τι αὐτῷ ἀποβαίνοι· καὶ διαπηδῴη δ' ἂν καὶ ἐξάλλοιτο καὶ τἆλλα πάντα ὑπηρετοίη ἄν, εἰ προσδοκῴη, ὁπότε τὰ σημαινόμενα πράξοι ῥᾳστώνην τινά.

Καὶ τὰ μὲν δὴ εἰρημένα ταῦτ' ἐστίν, ὡς ἂν ἥκιστα IX μὲν ἐξαπατῷτο καὶ πῶλον καὶ ἵππον ὠνούμενος, ἥκιστα δ' ἂν διαφθείροι χρώμενος, μάλιστα δ' ἂν ἵππον ἀποδεικνύοι, εἰ δέοι, ἔχοντα ὧν ἱππεὺς δεῖται εἰς πόλεμον. καιρὸς δ' ἴσως γράψαι καὶ εἴ ποτε συμβαίη θυμοειδεστέρῳ ἵππῳ τοῦ καιρίου χρῆσθαι ἢ βλακωδεστέρῳ, ὡς ἂν ὀρθότατα ἑκατέρῳ χρῷτο. πρῶτον μὲν τοίνυν χρὴ τοῦτο γνῶναι, ὅτι ἐστὶ θυμὸς 2 ἵππῳ ὅπερ ὀργὴ ἀνθρώπῳ. ὥσπερ οὖν καὶ ἄνθρωπον ἥκιστ' ἂν ὀργίζοι τις [ὁ] μήτε λέγων χαλεπὸν μηδὲν μήτε ποιῶν, οὕτω καὶ ἵππον θυμοειδῆ ὁ μὴ ἀνιῶν ἥκιστ' ἂν ἐξοργίζοι. εὐθὺς μὲν οὖν χρὴ ἐν τῇ ἀνα- 3 βάσει ἐπιμελεῖσθαι, ὡς ἂν ἥκιστ' ἀναβαίνων λυποῖ· ἐπειδὰν δὲ ἀναβῇ, ἠρεμήσαντα πλείω χρόνον ἢ τὸν ἐπιτυχόντα οὕτω προκινεῖν αὐτὸν ὡς πραοτάτοις σημείοις. ἔπειτα δ' ἐκ τοῦ βραδυτάτου ἀρχόμενον

7 κολάσῃς Bornemann [ad Conv. IV 33]: κολάζῃς | 16 διαφθείροι Dind. : διαφθείραι | 17 ἀποδεικνύοι εἰ δέοι Bornemann : ἀποδεικνύει (-ειν) δέοι | 23 ὁ del. Dind. | 29 βραδυτάτου Brodaeus : βραχυτάτου.

οὕτως αὖ εἰς τὸ θᾶττον προάγειν, ὡς ἂν μάλιστα λανθάνοι αὐτὸν ὁ ἵππος εἰς τὸ ταχὺ ἀφικνούμενος.
4 ὅ, τι δ' ἂν ἐξαίφνης σημήνῃ, θυμοειδῆ ἵππον ὥσπερ ἄνθρωπον ταράττει τὰ ἐξαπίναια καὶ ὁράματα καὶ ἀκούσματα καὶ παθήματα. εἰδέναι δὲ χρὴ ὅτι ἐν ἵππῳ
5 τὰ ἐξαπίναια τάραχον ἐξεργάζεται. ἦν δὲ καὶ εἰς τὸ θᾶττον ὁρμώμενον τοῦ καιροῦ ὑπολαμβάνειν βούλῃ τὸν θυμοειθῆ, οὐ δεῖ ἐξαπιναίως σπᾶν, ἀλλ' ἡρεμαίως προσάγεσθαι τῷ χαλινῷ, πραΰνοντα, οὐ βιαζόμενον
6 ἠρεμεῖν. καὶ αἵ τε μακραὶ ἐλάσεις μᾶλλον ἢ αἱ πυκναὶ ἀποστροφαὶ πραΰνουσι τοὺς ἵππους καὶ αἱ ἡσυχαῖαι μὲν πολὺν δὲ χρόνον* καθέψουσι καὶ πραΰνουσι καὶ
7 οὐκ ἀνεγείρουσι τὸν θυμοειδῆ. εἰ δέ τις οἴεται, ἢν ταχὺ καὶ πολλὰ ἐλαύνηται, ἀπειπεῖν ποιήσας τὸν ἵππον πραϋνεῖν, τἀναντία γιγνώσκει τοῦ γιγνομένου. ἐν γὰρ τοῖς τοιούτοις ὁ θυμοειδὴς καὶ ἄγειν βίᾳ μάλιστα ἐπιχειρεῖ καὶ σὺν τῇ ὀργῇ ὥσπερ ἄνθρωπος ὀργίλος πολλάκις καὶ ἑαυτὸν καὶ τὸν ἀναβάτην πολλὰ
8 ἀνήκεστα ἐποίησεν. ἐπιλαμβάνειν δὲ χρὴ ἵππον θυμοειδῆ καὶ τοῦ εἰς τὸ τάχιστον ὁρμᾶν, τοῦ δὲ δὴ παραβάλλειν ἵππῳ καὶ παντάπασιν ἀπέχεσθαι· σχεδὸν γὰρ οἱ θυμοειδέστατοι καὶ φιλονικότατοι τῶν ἵππων
9 γίγνονται. καὶ χαλινοὶ δὲ οἱ λεῖοι ἐπιτηδειότεροι τῶν τραχέων. ἐὰν δὲ καὶ τραχὺς ἐμβληθῇ, τῇ χαλαρότητι λείῳ δεῖ αὐτὸν ἀφομοιοῦν. ἀγαθὸν δὲ ἐθίζειν αὐτὸν καὶ τὸ ἡρεμεῖν, μάλιστα ἐπὶ θυμοειδοῦς ἵππου, καὶ τὸ ὡς ἥκιστα ἄλλῳ τινὶ ἅπτεσθαι ἢ οἷς τοῦ καθῆ-
10 σθαι ἀσφαλῶς ἕνεκα ἁπτόμεθα. εἰδέναι δὲ χρὴ ὅτι δίδαγμά τι ἐστι καὶ τὸ ποππυσμῷ μὲν πραΰνεσθαι, κλωσμῷ δὲ ἐγείρεσθαι. καὶ εἴ τις ἐξ ἀρχῆς ἐπὶ μὲν

5 *εἰδέναι* - 6 *ἐξεργάζεται* del. C. | 7 *τοῦ καιροῦ* Löw. : *καὶ τοῦ ῥοῦ* | 12 *πολ. δὲ χρ.*] *πολύχρονοι δὲ* Madvig | 19 *ὑπολαμβάνειν* Cour. | 30 *κλωγμῷ* Poll. I 209.

κλωσμῷ τὰ πραέα, ἐπὶ δὲ ποππυσμῷ τὰ χαλεπὰ προσφέροι, μάθοι ἂν ὁ ἵππος ποππυσμῷ μὲν ἐγείρεσθαι, κλωσμῷ δὲ πραΰνεσθαι. οὕτως οὖν δεῖ καὶ 11
παρὰ κραυγὴν καὶ παρὰ σάλπιγγα μήτ' αὐτὸν φαίνεσθαι τεθορυβημένον τῷ ἵππῳ μήτε μὴν ἐκείνῳ θορυβῶδες μηδὲν προσφέρειν, ἀλλ' εἰς τὸ δυνατὸν καὶ ἀναπαύειν ἐν τῷ τοιούτῳ καὶ ἄριστα καὶ δεῖπνα, εἰ ἐγχωροίη, προσφέρειν. κάλλιστον δὲ συμβούλευμα 12
τὸ ἄγαν θυμοειδῆ ἵππον μὴ κτᾶσθαι εἰς πόλεμον. βλακί γε μὴν ἵππῳ ἀρκεῖν μοι δοκεῖ γράψαι πάντα τἀναντία ποιεῖν ὅσα τῷ θυμοειδεῖ χρῆσθαι συμβουλεύομεν.

Ἢν δέ τίς ποτε βουληθῇ χρῆσθαι τῷ χρησίμῳ εἰς X
πόλεμον ἵππῳ ὡς μεγαλοπρεπεστέρῳ τε καὶ περιβλεπτοτέρῳ ἱππάζεσθαι, τοῦ μὲν ἕλκειν τε τὸ στόμα τῷ χαλινῷ καὶ μυωπίζειν τε καὶ μαστιγοῦν τὸν ἵππον, ἃ οἱ πολλοὶ ποιοῦντες λαμπρύνειν οἴονται, ἀπέχεσθαι δεῖ· πάντα γὰρ τἀναντία οὗτοί γε ποιοῦσιν ὧν βούλονται. τά τε γὰρ στόματα ἕλκοντες ἄνω ἀντὶ τοῦ 2
προορᾶν ἐκτυφλοῦσι τοὺς ἵππους, καὶ μυωπίζοντες καὶ παίοντες ἐκπλήττουσιν, ὥστε τεταράχθαι καὶ κινδυνεύειν. ταῦτα δ' ἐστὶν ἵππων ἔργα τῶν μάλιστα ἀχθομένων ἱππασίᾳ καὶ αἰσχρὰ καὶ οὐ καλὰ ποιούντων. ἐὰν δέ τις διδάξῃ τὸν ἵππον ἐν χαλαρῷ μὲν τῷ 3
χαλινῷ ἱππεύειν, ἄνω δὲ τὸν αὐχένα διαίρειν, ἀπὸ δὲ τῆς κεφαλῆς κυρτοῦσθαι, οὕτως ἂν ἀπεργάζοιτο ποιεῖν τὸν ἵππον οἷοισπερ καὶ αὐτὸς ἥδεταί τε καὶ ἀγάλλεται. τεκμήριον δὲ ὅτι τούτοις ἥδεται· ὅταν γὰρ 4
αὐτὸς σχηματοποιεῖσθαι θέλῃ παρ' ἵππους, μάλιστα δὲ ὅταν παρὰ θηλείας, τότε αἴρει τε τὸν αὐχένα ἀνω-

11 ἢ add. ante ὅσα Cour. | 14.15 [ὡς] *μεγαλοπρεπεστέρως... περιβλεπτοτέρως* Richards | 19 *στόματα* Löw.: *σχήματα* | 21.22 *κινδ.*] *ἰδίειν* Madvig.

τάτω καὶ κυρτοῖ μάλιστα τὴν κεφαλὴν γοργούμενος, καὶ τὰ μὲν σκέλη ὑγρὰ μετεωρίζει, τὴν δὲ οὐρὰν ἄνω ἀνατείνει. ὅταν οὖν τις αὐτὸν εἰς ταῦτα προάγῃ ἅπερ αὐτὸς σχηματοποιεῖται, ὅταν μάλιστα καλλωπίζηται, οὕτως ἡδόμενόν τε τῇ ἱππασίᾳ καὶ μεγαλοπρεπῆ καὶ γοργὸν καὶ περίβλεπτον ἀποφαίνει τὸν ἵππον. ὡς οὖν ἡγούμεθα ταῦτ' ἂν ἀπεργασθῆναι, νῦν αὖ πειρασόμεθα διηγεῖσθαι. πρῶτον μὲν τοίνυν χρὴ οὐ μεῖον δυοῖν χαλινοῖν κεκτῆσθαι. τούτων δὲ ἔστω ὁ μὲν λεῖος, τοὺς τροχοὺς εὐμεγέθεις ἔχων, ὁ δ' ἕτερος τοὺς μὲν τροχοὺς καὶ βαρεῖς καὶ ταπεινούς, τοὺς δ' ἐχίνους ὀξεῖς, ἵνα ὁπόταν μὲν τοῦτον λάβῃ, ἀσχάλλων τῇ τραχύτητι διὰ τοῦτο ἀφίῃ, ὅταν δὲ τὸν λεῖον μεταλάβῃ, τῇ μὲν λειότητι αὐτοῦ ἥσθῃ, ἃ δ' ἂν ὑπὸ τοῦ τραχέος παιδευθῇ, ταὐτὰ δὲ καὶ ἐν τῷ λείῳ ποιῇ. ἢν δ' αὖ καταφρονήσας τῆς λειότητος θαμινὰ ἀπερείδηται ἐν αὐτῷ, τούτου ἕνεκα τοὺς τροχοὺς μεγάλους τῷ λείῳ προστίθεμεν, ἵνα χάσκειν ἀναγκαζόμενος ὑπ' αὐτῶν ἀφίῃ τὸ στόμιον. οἷόν τε δὲ καὶ τὸν τραχὺν παντοδαπὸν ποιεῖν καὶ κατειλοῦντα καὶ κατατείνοντα. ὁποῖοι δ' ἂν ὦσι χαλινοί, πάντες ὑγροὶ ἔστωσαν. τὸν μὲν γὰρ σκληρόν, ὅπῃ ἂν ὁ ἵππος λάβῃ, ὅλον ἔχει πρὸς ταῖς γνάθοις· ὥσπερ καὶ ὀβελίσκον, ὁπόθεν ἄν τις λάβῃ, ὅλον αἴρει. ὁ δὲ ἕτερος ὥσπερ ἡ ἅλυσις ποιεῖ· ὃ γὰρ ἂν ἔχῃ τις αὐτοῦ, τοῦτο μόνον ἄκαμπτον μένει, τὸ δὲ ἄλλο ἀπήρτηται. τὸ δὲ φεῦγον ἐν τῷ στόματι ἀεὶ θηρεύων ἀφίησιν ἀπὸ τῶν γνάθων τὸ στόμιον· τούτου ἕνεκα καὶ οἱ κατὰ μέσον ἐκ τῶν ἀξόνων δακτύλιοι κρεμάννυνται, ὅπως τούτους διώκων τῇ τε γλώττῃ καὶ τοῖς ὀδοῦσιν ἀμελῇ τοῦ ἀναλαμβάνειν πρὸς τὰς γνάθους τὸν χαλινόν. εἰ δέ τις

17 ἐπερείδηται Löw. | 21 ὁποῖοι Weisk. : ὁπόσοι.

ἀγνοεῖ, τί τὸ ὑγρὸν τοῦ χαλινοῦ καὶ τί τὸ σκληρόν, γράψομεν καὶ τοῦτο. ὑγρὸν μὲν γάρ ἐστιν ὅταν οἱ ἄξονες εὐρείας καὶ λείας ἔχωσι τὰς συμβολάς, ὥστε ῥᾳδίως κάμπτεσθαι, καὶ πάντα δὲ ὁπόσα περιτίθεται περὶ τοὺς ἄξονας ἢν εὐρύστομα ᾖ καὶ μὴ σύμπυκνα, ὑγρότερά ἐστιν. ἢν δὲ χαλεπῶς ἕκαστα τοῦ χαλινοῦ 11 διατρέχῃ καὶ συνθέῃ, τοῦτ' ἐστὶ τὸ σκληρὸν εἶναι. ὁποῖος δ' ἄν τις ᾖ, τούτῳ τάδε γε πάντα ταὐτὰ ποιητέον, ἥνπερ γε βούληται ἀποδείξασθαι τὸν ἵππον οἱονπερ εἴρηται. ἀνοκρουστέον μὲν τὸ στόμα τοῦ 12 ἵππου οὔτε ἄγαν χαλεπῶς ὥστ' ἐκνεύειν, οὔτε ἄγαν ἡσύχως ὡς μὴ αἰσθάνεσθαι. ἐπειδὰν δὲ ἀνακρουόμενος ἄρῃ τὸν αὐχένα, δοτέον εὐθὺς τὸν χαλινόν. καὶ τἆλλα δὲ δεῖ, ὥσπερ οὐ παυόμεθα λέγοντες, ἐν ᾧ ἂν καλῶς ὑπηρετῇ, χαρίζεσθαι τῷ ἵππῳ. καὶ ὅταν 13 δ' αἴσθηται ἡδόμενον τὸν ἵππον τῇ τε ὑψηλαυχενίᾳ καὶ τῇ χαλαρότητι, ἐν τούτῳ οὐδὲν δεῖ χαλεπὸν προσφέρειν ὡς πονεῖν ἀναγκάζοντα, ἀλλὰ θωπεύειν ὡς ἱππάσασθαι βουλόμενον· οὕτω γὰρ μάλιστα θαρσῶν πρόεισιν εἰς τὴν ταχεῖαν ἱππασίαν. ὡς δὲ καὶ τῷ 14 ταχὺ θεῖν ἵππος ἥδεται τεκμήριον· ἐκφυγὼν γὰρ οὐδεὶς βάδην πορεύεται, ἀλλὰ θεῖ. τούτῳ γὰρ πέφυκεν ἥδεσθαι, ἢν μή τις πλείω τοῦ καιροῦ θεῖν ἀναγκάζῃ· ὑπερβάλλον δὲ τὸν καιρὸν οὐδὲν τῶν πάντων ἡδὺ οὔτε ἵππῳ οὔτε ἀνθρώπῳ. ὅταν γε μὴν 15 εἰς τὸ ἱππάζεσθαι μετὰ τοῦ κυδροῦ ἀφιγμένος ᾖ, εἰθισμένος μὲν δήπου ἡμῖν ἦν ἐν τῇ πρώτῃ ἱππασίᾳ ἐκ τῶν στροφῶν εἰς τὸ θᾶττον ὁρμᾶσθαι. ἢν δέ τις τοῦτο [μὲν] μεμαθηκότος αὐτοῦ ἅμα ἀντιλαμβάνηταί

---

5 *εὐρύτερα* Gesner | 8 *κατὰ* add. ante *ταὐτὰ* Richards | 9 *ἀποδεῖξαι* Schneid. | 17 *ὑψαυχενίᾳ* Dind. | 25 *ἡδὺ* Castalio cum I : *ἥδιον* cett. | 29 *μὲν* del. Dind.

τε τῷ χαλινῷ καὶ σημήνῃ τῶν ὁρμητηρίων τι, οὕτως ὑπὸ μὲν τοῦ χαλινοῦ πιεσθείς, ὑπὸ δὲ τοῦ ὁρμᾶν σημανθῆναι ἐγείρεται, καὶ προβάλλεται μὲν τὰ στέρνα, αἴρει δὲ ἄνω τὰ σκέλη ὀργιζόμενος, οὐ μέντοι ὑγρά γε· οὐ γὰρ μᾶλλον ὅταν λυπῶνται ὑγροῖς τοῖς σκέ-
16 λεσιν ἵπποι χρῶνται. ἢν δέ τις οὕτως ἀνεζωπυρημένῳ αὐτῷ δῷ τὸν χαλινόν, ἐνταῦθ' ὑφ' ἡδονῆς τῷ διὰ τὴν χαλαρότητα τοῦ στομίου λελύσθαι νομίζειν, κυδρῷ μὲν τῷ σχήματι, ὑγροῖν δὲ τοῖν σκελοῖν γαυριώμενος φέρεται, παντάπασιν ἐκμιμούμενος τὸν πρὸς
17 ἵππους καλλωπισμόν. καὶ οἱ θεώμενοι τὸν ἵππον τοιοῦτον ἐπικαλοῦσιν ἐλευθέριόν τε καὶ ἐθελουργὸν καὶ ἱππαστὴν καὶ θυμοειδῆ καὶ σοβαρὸν καὶ ἅμα ἡδύν τε καὶ γοργὸν ἰδεῖν. καὶ ταῦτα μὲν δή, ἢν τούτων τις ἐπιθυμήσῃ, μέχρι τούτων ἡμῖν γεγράφθω.

XI Ἢν δέ τις ἄρα βουληθῇ καὶ πομπικῷ καὶ μετεώρῳ καὶ λαμπρῷ ἵππῳ χρήσασθαι, οὐ μάλα μὲν τὰ τοιαῦτα ἐκ παντὸς ἵππου γίγνεται, ἀλλὰ δεῖ ὑπάρξαι αὐτῷ καὶ τὴν ψυχὴν μεγαλόφρονα καὶ τὸ σῶμα εὖ-
2 ρωστον. οὐ μέντοι ὅ γε οἴονταί τινες τὸν τὰ σκέλη ὑγρὰ ἔχοντα καὶ τὸ σῶμα αἴρειν δυνήσεσθαι, οὕτως ἔχει· ἀλλὰ μᾶλλον ὃς ἂν τὴν ὀσφῦν ὑγράν τε καὶ βραχεῖαν καὶ ἰσχυρὰν ἔχῃ, (καὶ οὐ τὴν κατ' οὐρὰν λέγομεν, ἀλλ' ἣ πέφυκε μεταξὺ τῶν τε πλευρῶν καὶ τῶν ἰσχίων κατὰ τὸν κενεῶνα), οὗτος δυνήσεται πόρρω
3 ὑποτιθέναι τὰ ὀπίσθια σκέλη ὑπὸ τὰ ἐμπρόσθια. ἢν οὖν τις ὑποτιθέντος αὐτοῦ ἀνακρούῃ τῷ χαλινῷ, ὀκλάζει μὲν τὰ ὀπίσθια ἐν τοῖς ἀστραγάλοις, αἴρει

---

2 post *πιεισθεὶς* add. *λυπεῖται* Löw. | 3 *ἐγερθεὶς* Weisk. *ὁρμῶν* add. ante *ἐγείρεται* Schneid. | [*καὶ*] Cour. | 5 *μάλα* Cour. | *ὑγροῖς* Brodaeus : *ὑγρῶς* | 8 *νομίζει* Brodaeus *νομίζων* Schneid. | 12 *ἐπικαλ.* Herw. : *ἀποκαλ.* | 27 *αὐτοῦ* Brodaeus *αὐτὸν* Cour. : *αὐτῷ*.

δὲ τὸ πρόσθεν σῶμα, ὥστε τοῖς ἐξ ἐναντίας φαίνεσθαι τὴν γαστέρα καὶ τὰ αἰδοῖα. δεῖ δὲ καὶ ὅταν ταῦτα ποιῇ διδόναι αὐτῷ τὸν χαλινόν, ὅπως τὰ κάλλιστα ἵππου ἑκών τε ποιῇ καὶ δοκῇ τοῖς ὁρῶσιν.
5 εἰσὶ μέντοι οἳ καὶ ταῦτα διδάσκουσιν οἱ μὲν ῥάβδῳ 4
ὑπὸ τοὺς ἀστραγάλους κρούοντες, οἱ δὲ καὶ βακτηρίᾳ παρατρέχοντά τινα κελεύοντες ὑπὸ τὰς μηριαίας παίειν.
ἡμεῖς γε μέντοι τὸ κράτιστον τῶν διδασκαλίων νομί- 5
ζομεν, ὥσπερ ἀεὶ λέγομεν, ἢν ἐν παντὶ παρέπηται
10 τὸ ἐν ᾧ ἂν ποιήσῃ τῷ ἀναβάτῃ κατὰ γνώμην τυγχάνειν ῥᾳστώνης παρ' αὐτοῦ. ἃ μὲν γὰρ ὁ ἵππος 6
ἀναγκαζόμενος ποιεῖ, ὥσπερ καὶ Σίμων λέγει, οὔτ' ἐπίσταται οὔτε καλά ἐστιν, οὐδὲν μᾶλλον ἢ [εἴ] τις ὀρχηστὴν μαστιγῶν καὶ κεντρίζων. πολὺ γὰρ ἂν
15 πλείω ἀσχημονοίη ἢ καλὰ ποιοίη ὁ τοιαῦτα πάσχων καὶ ἵππος καὶ ἄνθρωπος. ἀλλὰ δεῖ ἀπὸ σημείων ἑκόντα πάντα τὰ κάλλιστα καὶ λαμπρότατα ἐπιδείκνυσθαι. ἦν δὲ καὶ ὅταν μὲν ἱππάζηται μέχρι 7
πολλοῦ ἱδρῶτος ἐλαύνηται, ὅταν δὲ καλῶς μετεωρίζῃ
20 ἑαυτόν, ταχύ τε καταβαίνηται καὶ ἀποχαλινῶται, εὖ χρὴ εἰδέναι, ὅτι ἑκὼν εἶσιν εἰς τὸ μετεωρίζειν ἑαυτόν.
εἰ δὴ ἐπὶ τῶν τοιούτων ἱππαζόμενοι ἵππων καὶ θεοὶ 8
καὶ ἥρωες γράφονται, καὶ ἄνδρες οἱ καλῶς χρώμενοι αὐτοῖς μεγαλοπρεπεῖς φαίνονται. οὕτω δὲ καὶ ἔστιν 9
25 ὁ μετεωρίζων ἑαυτὸν ἵππος σφόδρα [ἢ καλὸν ἢ δεινὸν ἢ] ἀγαστὸν [ἢ θαυμαστόν], ὡς πάντων τῶν ὁρώντων καὶ νέων καὶ γεραιτέρων τὰ ὄμματα κατέχει.
οὐδεὶς γοῦν οὔτε ἀπολείπει αὐτὸν οὔτε ἀπαγορεύει

---

13 *εἰ* del. P. | *μαστιγώῃ καὶ κεντρίζοι* Steph. | 17 *ἑκόντα* Gesner : *ἔχοντα* | 22 *εἰ δὴ - ἱππαζ.* Richards : *ἐπὶ τῷ (τῶν) τοιούτῳ (-ων) εἴδει (ἤδη δὲ) ἱππαζ.* | 25.26 *ἢ καλὸν - δεινὸν ἢ* et *ἢ θαυμαστὸν* del. Tomm. praeeunte C. | 26 *ἀγαστὸν* Steph. : *ἀγαθὸν*.

θεώμενος ἔστ' ἄν περ ἐπιδεικνύηται τὴν λαμπρότητα.
10 ἤν γε μήν ποτε συμβῇ τινι τῶν τοιοῦτον ἵππον κε-
κτημένων ἢ φυλαρχῆσαι ἢ ἱππαρχῆσαι, οὐ δεῖ αὐτὸν
τοῦτο σπουδάζειν, ὅπως αὐτὸς μόνος λαμπρὸς ἔσται,
ἀλλὰ πολὺ μᾶλλον ὅπως ὅλον τὸ ἑπόμενον ἀξιοθέα- 5
11 τον φανεῖται. ἦν μὲν οὖν ἡγῆται, ὡς μάλιστα ἐπαι-
νοῦσι τοὺς τοιούτους ἵππους, ὃς ἂν ἀνωτάτω αἰρό-
μενος καὶ πυκνότατα τὸ σῶμα βραχύτατον προβαίνῃ,
δῆλον ὅτι καὶ βάδην ἕποιντ' ἂν οἱ ἄλλοι ἵπποι αὐτῷ.
ἐκ δὲ ταύτης τῆς ὄψεως τί ἂν καὶ λαμπρὸν γένοιτ' 10
12 ἄν; ἦν δὲ ἐξεγείρας τὸν ἵππον ἡγῇ μήτε τῷ ἄγαν
τάχει μήτε τῷ ἄγαν βράδει, ὡς δ' εὐθυμότατοι ἵπποι
καὶ γοργότατοι καὶ πονεῖν εὐσχημονέστατοι γίγνονται,
ἐὰν ἡγῇ αὐτοῖς οὕτως, ἀθρόος μὲν ἂν ὁ κτύπος,
ἀθρόον δὲ τὸ φρύαγμα καὶ τὸ φύσημα τῶν ἵππων 15
συμπαρέποιτο, ὥστε οὐ μόνον αὐτὸς ἀλλὰ καὶ πάντες
13 οἱ συμπαρεπόμενοι ἀξιοθέατοι ἂν φαίνοιντο. ἦν γε
μήν τις καλῶς μὲν ἱππωνήσῃ, τρέφῃ δὲ ὡς πόνους
δύνασθαι ὑποφέρειν, ὀρθῶς δὲ χρῆται καὶ ἐν τοῖς
πρὸς πόλεμον μελετήμασι καὶ ἐν ταῖς πρὸς ἐπίδειξιν 20
ἱππασίαις καὶ ἐν τοῖς πολεμικοῖς ἀγωνίσμασι, τί ἔτι
ἐμποδὼν τούτῳ μὴ οὐχὶ πλείονός τε ἀξίους ἵππους
ποιεῖν ἢ οἵους ἂν παραλαμβάνῃ καὶ εὐδοκίμους μὲν
ἵππους ἔχειν, εὐδοκιμεῖν δὲ αὐτὸν ἐν τῇ ἱππικῇ, ἢν
μή τι δαιμόνιον κωλύῃ; 25

XII Γράψαι δὲ βουλόμεθα καὶ ὡς δεῖ ὡπλίσθαι τὸν
μέλλοντα ἐφ' ἵππου κινδυνεύειν. πρῶτον μὲν τοίνυν
φαμὲν χρῆναι πρὸς τὸ σῶμα τὸν θώρακα πεποιῆσθαι,
τὸν μὲν γὰρ καλῶς ἁρμόζοντα ἔοικε πᾶν φέρειν τὸ
σῶμα, τὸν δὲ ἄγαν χαλαρὸν οἱ ὦμοι μόνοι φέρουσιν, 30

6.7 [ὡς - ἵππους] Weisk. | 14 ἄν add. Cour. | 29 ἔοικε πᾶν Diels ὅλον Castalio : ἐκεῖνον.

ὅ γε μὴν λίαν στενὸς δεσμὸς οὐχ ὅπλον ἐστίν. ἐπεὶ 2
δὲ καὶ ὁ αὐχὴν ἐστι τῶν καιρίων, φαμὲν χρῆναι καὶ
τούτῳ ἐξ αὐτοῦ τοῦ θώρακος ὅμοιον τῷ αὐχένι στέ-
γασμα πεποιῆσθαι. τοῦτο γὰρ ἅμα κόσμον τε παρέ-
ξει, καὶ ἢν οἷον δεῖ εἰργασμένον ᾖ, δέξεται ὅταν βού-
ληται τῷ ἀναβάτῃ τὸ πρόσωπον μέχρι τῆς ῥινός.
κράνος γε μὴν κράτιστον εἶναι νομίζομεν τὸ βοιω- 3
τιουργές· τοῦτο γὰρ αὖ στεγάζει μάλιστα πάντα τὰ
ὑπερέχοντα τοῦ θώρακος, ὁρᾶν δὲ οὐ κωλύει· ὁ δ'
αὖ θώραξ οὕτως εἰργάσθω, ὡς μὴ κωλύειν μήτε
καθίζειν μήτ' ἐπικύπτειν. τὰ δὲ περὶ τὸ ἧτρον καὶ 4
τὰ αἰδοῖα καὶ τὰ κύκλῳ αἱ πτέρυγες τοιαῦται καὶ
τοσαῦται ἔστωσαν, ὥστε στέγειν τὰ βέλη. ἐπεὶ δὲ καὶ ἡ 5
ἀριστερὰ χεὶρ ἤν τι πάθῃ, καταλύει τὸν ἱππέα, καὶ
ταύτῃ ἐπαινοῦμεν τὸ εὑρημένον ὅπλον τὴν χεῖρα κα-
λουμένην. τόν τε γὰρ ὦμον σκεπάζει καὶ τὸν βραχίονα
καὶ τὸν πῆχυν καὶ τὸ ἐχόμενον τῶν ἡνιῶν, καὶ ἐκτείνεται
δὲ καὶ συγκάμπτεται· πρὸς δὲ τούτοις καὶ τὸ διαλεῖπον
τοῦ θώρακος ὑπὸ τῇ μασχάλῃ καλύπτει. τήν γε μὴν 6
δεξιὰν ἐπαίρειν δεῖ, ἤν τε ἀκοντίσαι ἤν τε πατάξαι
βουληθῇ. τοῦ μὲν δὴ θώρακος τὸ κωλῦον ταύτῃ
ἀφαιρετέον· ἀντὶ δὲ τούτου πτέρυγας ἐν τοῖς γιγγλύ-
μοις προσθετέον ὅπως, ὅταν μὲν διαίρηται, ὁμοίως
ἀναπτύσσωνται· ὅταν δὲ καταίρηται, ἐπικλείωνται. τῷ 7
γε μὴν βραχίονι τὸ ὥσπερ κνημὶς παρατιθέμενον
βέλτιον ἡμῖν δοκεῖ εἶναι ἢ συνδεθὲν ὅπλῳ. τό γε μὴν
ψιλούμενον αἰρομένης τῆς δεξιᾶς στεγαστέον ἐγγὺς
τοῦ θώρακος ἢ μοσχείῳ ἢ χαλκείῳ· εἰ δὲ μή, ἐν
τῷ ἐπικαιροτάτῳ ἀφύλακτον ἔσται. ἐπεὶ δ' ἤνπερ 8
τι πάσχῃ ὁ ἵππος, ἐν παντὶ κινδύνῳ καὶ ὁ ἀναβάτης

---

21 *ταύτην* Steph. | 24 *καταίρηται* Schneid. *καθαιρῆται* Steph. *καθιῆται* Weisk. : *καθαίρηται* | 25 *περιτιθ.* Cour.

γίγνεται, ὁπλίζειν δεῖ καὶ τὸν ἵππον προμετωπιδίῳ καὶ παραμηριδίοις· ταῦτα γὰρ ἅμα καὶ τῷ ἀναβάτῃ παραμηρίδια γίγνεται. πάντων δὲ μάλιστα τοῦ ἵππου τὸν κενεῶνα δεῖ σκεπάζειν· καιριώτατον γὰρ ὂν καὶ ἀφαυρότατόν ἐστι· δυνατὸν δὲ σὺν τῷ ἐφιππίῳ καὶ
9 αὐτὸν σκεπάσαι. χρὴ δὲ καὶ τὸ ἔποχον τοιοῦτον ἐρράφθαι ὡς ἀσφαλέστερόν τε τὸν ἱππέα καθῆσθαι καὶ τὴν ἕδραν τοῦ ἵππου μὴ σίνεσθαι. καὶ τὰ μὲν δὴ ἄλλα οὕτω καὶ ὁ ἵππος καὶ ὁ ἱππεὺς ὡπλισμένοι ἂν
10 εἶεν. κνῆμαι δὲ καὶ πόδες ὑπερέχοιεν μὲν ἂν εἰκότως τῶν παραμηριδίων, ὁπλισθείη δ' ἂν καὶ ταῦτα, εἰ ἐμβάδες γένοιντο σκύτους, ἐξ οὗπερ αἱ κρηπῖδες ποιοῦνται· οὕτω γὰρ ἂν ἅμα ὅπλον τε κνήμαις καὶ
11 ποσὶν ὑποδήματ' ἂν εἴη. ὡς μὲν δὴ μὴ βλάπτεσθαι θεῶν ἵλεων ὄντων ταῦτα ὅπλα. ὡς δὲ τοὺς ἐναντίους βλάπτειν, μάχαιραν μὲν μᾶλλον ἢ ξίφος ἐπαινοῦμεν· ἐφ' ὑψηλοῦ γὰρ ὄντι τῷ ἱππεῖ κοπίδος μᾶλλον ἡ πληγὴ
12 ἢ ξίφους ἀρκέσει. ἀντί γε μὴν δόρατος καμακίνου, ἐπειδὴ καὶ ἀσθενὲς καὶ δύσφορόν ἐστι, τὰ κρανέϊνα δύο παλτὰ μᾶλλον ἐπαινοῦμεν. καὶ γὰρ ἐξαφεῖναι τὸ ἕτερον δυνατὸν τῷ ἐπισταμένῳ, καὶ τῷ λειπομένῳ οἷόν τε χρῆσθαι καὶ εἰς τὸ ἀντίον καὶ εἰς τὰ πλάγια καὶ εἰς τοὔπισθεν· καὶ ἅμα ἰσχυρότερά τε τοῦ δόρατος καὶ εὐφορώτερά ἐστιν.

13 Ἀκόντισμά γε μὴν τὸ μακρότατον ἐπαινοῦμεν· καὶ γὰρ ἀποστρέψαι καὶ μεταλαβεῖν παλτὸν οὕτω μᾶλλον ὁ χρόνος ἐγχωρεῖ. γράψομεν δὲ ἐν βραχεῖ καὶ ὡς ἄν τις κράτιστα ἀκοντίζοι. ἦν γὰρ προβαλλόμενος μὲν τὰ ἀριστερά, ἐπανάγων δὲ τὰ δεξιά, ἐξανιστάμενος δὲ ἐκ τῶν μηρῶν, μικρὸν ἐπανακύπτουσαν τὴν λόγχην ἀφῇ, οὕτω σφοδρότατόν τε καὶ μακρότατον οἴσεται

---

2 παραμηριδίοις Weisk. : παραπλευριδίοις | 20 ἐξαφιέναι Löw.

τὸ ἀκόντιον, εὐστοχώτατον μέντοι, ἐὰν κατὰ τὸν σκοπὸν ἀφιεμένη ἀεὶ ὁρᾷ ἡ λόγχη. καὶ ταῦτα μὲν δὴ 14
ἰδιώτῃ καὶ ὑπομνήματα καὶ μαθήματα καὶ μελετήματα γεγράφθω ἡμῖν. ἃ δὲ ἱππάρχῳ προσῆκεν εἰδέναι τε καὶ πράττειν ἐν ἑτέρῳ λόγῳ δεδήλωται.

ΚΥΝΗΓΕΤΙΚΟΣ.

Πρῶτον μὲν εὕρημα θεῶν, Ἀπόλλωνος καὶ Ἀρτέ- 1
μιδος, ἄγραι καὶ κύνες· ἔδοσαν δὲ καὶ ἐτίμησαν τούτῳ
Χίρωνα διὰ δικαιότητα. ὁ δὲ λαβὼν ἐχάρη τῷ δώρῳ 2
καὶ ἐχρῆτο· καὶ ἐγένοντο αὐτῷ μαθηταὶ κυνηγεσίων
τε καὶ ἑτέρων καλῶν Κέφαλος, Ἀσκληπιός, Μειλα-
νίων, Νέστωρ, Ἀμφιάραος, Πηλεύς, Τελαμών, Με-
λέαγρος, Θησεύς, Ἱππόλυτος, Παλαμήδης, Ὀδυσσεύς,
Μενεσθεύς, Διομήδης, Κάστωρ, Πολυδεύκης, Μα-
χάων, Ποδαλείριος, Ἀντίλοχος, Αἰνείας, Ἀχιλλεύς.
θαυμαζέτω δὲ μηδείς, ὅτι οὐχ αἱ αὐταὶ ἡλικίαι πᾶσι 3
τούτοις· ὁ δὲ τοῦ Χίρωνος βίος πᾶσιν ἐξήρκει. ἐγεγόνει 4
μὲν γὰρ Χίρων πρότερος τούτων, ἐτελεύτησε δὲ ὕστερος
ἐπεὶ Ἀχιλλέα ἐπαίδευσεν. ἐκ δὲ τῆς ἐπιμελείας τῆς 5
τῶν κυνηγεσίων καὶ ἐκ τῆς ἄλλης παιδείας πολὺ
διενεγκόντες τὰ κατὰ τὴν ἀρετὴν ἐθαυμάσθησαν.
Κέφαλος μὲν καὶ ὑπὸ θεᾶς ἡρπάσθη, Ἀσκληπιὸς δὲ 6
μεγάλων ἔτυχεν, ἀνιστάναι μὲν θνήσκοντας, νοσοῦν-
τας δὲ ἰᾶσθαι· διὰ δὲ ταῦτα παρ' ἀνθρώποις ἀείμνη-
στον κλέος ἔχει. Μειλανίων δὲ τοσοῦτον ὑπερέσχε 7
φιλοπονίᾳ ὥστε ὧν αὐτῷ ἀντερασταὶ ἐγένοντο οἱ
ἄριστοι τῶν τότε μεγίστων γάμων μόνος ἔτυχεν Ἀτα-

---

1 *Κυνηγετικὰ* A *Κυνηγετικὸς* cett. Demetr., Tryphon, Harpocrat. al. | 14 *ἐκ*, ante *τῶν*, transp. post *καὶ* Schneid. | 21.22 *οἱ ἄρ. τῶν τότε* Schneid. : *οἱ τότε ἄρ. τῶν τε.*

λάντης. Νέστωρ δὲ παρελήλυθεν ὡς ἀφ' ἑνὸς τῶν
8 Ἑλλήνων τὰς ἀκοάς, ὥστε εἰδόσιν ἂν φαίην. Ἀμφιάραος δὲ ὅτ' ἐπὶ Θήβας ἐστράτευσε, πλεῖστον ἐκτήσατο ἔπαινον. Πηλεὺς δὲ ἐπὶ σωφροσύνῃ τε καὶ τῇ ἄλλῃ
9 ἀρετῇ μάλιστα ἐθαυμάσθη. Τελαμὼν δὲ τοιοῦτος ἐγένετο, ὥστ' ἐκ μὲν πόλεως τῆς μεγίστης ἦν αὐτὸς ἐβούλετο γῆμαι Περίβοιαν τὴν Ἀλκάθου· ὅτε δὲ ὁ πρῶτος τῶν Ἑλλήνων ἐδίδου τὰ ἀριστεῖα Ἡρακλῆς
10 ἑλὼν Τροίαν, Ἡσιόνην αὐτῷ ἔδωκεν. Μελέαγρος δὲ τὰς μὲν τιμὰς ἃς ἔλαβε πάντες ἄδουσι· πατρὸς δ' ἐν γήρᾳ ἐπιλανθανομένου τῆς θεοῦ οὐχ ὑπὸ τῆς αὑτοῦ αἰτίας ἐδυστύχησε. Θησεὺς δὲ τοὺς μὲν τῆς Ἑλλάδος ἐχθροὺς πάσης μόνος ἀπώλεσε· τὴν δ' αὑτοῦ πατρίδα πολλῷ
11 μείζω ποιήσας ἔτι καὶ νῦν θαυμάζεται. Ἱππόλυτος δὲ ὑπὸ μὲν Ἀρτέμιδος ἐτιμᾶτο καὶ ἐν λόγοις συνῆν, σωφροσύνην δὲ καὶ αὐτὸς μακαρισθεὶς ἐτελεύτησε. Παλαμήδης δὲ ἕως μὲν περιῆν πάντων τῶν ἐφ' ἑαυτοῦ ὑπερέσχε σοφίᾳ, ἀποθανὼν δὲ ἀδίκως τοσαύτης ἔτυχεν εὐκλείας ὑπὸ θεῶν, ὅσης οὐδεὶς ἄλλος ἀνθρώπων. ἐτελεύτησε δὲ οὐχ ὑφ' ὧν ἔφασάν τινες· οὐ γὰρ ἂν ἦν ὁ μὲν σχεδόν τι ἄριστος, ὁ δὲ ὅμοιος ἀγαθῷ·
12 κακοὶ δὲ ἔπραξαν τὸ ἔργον. Μενεσθεὺς δὲ ἐκ τῆς ἐπιμελείας τῆς [ἐκ] τῶν κυνηγεσίων τοσοῦτον ὑπερέβαλε φιλοπονίᾳ, ὥστε ὁμολογεῖται τοὺς τῶν Ἑλλήνων πρώτους ὑστέρους εἶναι τὰ εἰς τὸν πόλεμον ἐκείνου πλὴν Νέστορος· καὶ οὗτος οὐ προέχειν λέγεται, ἀλλὰ
13 ἐρίζειν. Ὀδυσσεὺς δὲ καὶ Διομήδης λαμπροὶ μὲν καὶ καθ' ἓν ἕκαστον, τὸ δὲ ὅλον αἴτιοι τοῦ Τροίαν ἁλῶναι.

---

2 ἂν φαίην Max Wiesenthal : ἀφίην A ἂν λέγοιμι cett. | 7 ἐβούλετο Steph. : ἐβουλεύετο | 7.8 τοῖς πρώτοις Dind. | 8 διεδίδου Dind. | 11 ἐπιλαθομένου Zeune | 16 σωφροσύνην (s. -ης) Piccolomini : σωφροσύνῃ | 23 ἐκ del. Dind.

Κάστωρ δὲ καὶ Πολυδεύκης ὅσα ἐπεδείξαντο ἐν τῇ Ἑλλάδι, τῶν παρὰ Χίρωνος διὰ τὸ ἀξίωμα τὸ ἐκ τούτων ἅπαντες μεστοί εἰσι. Μαχάων δὲ καὶ Ποδα- 14
λείριος παιδευθέντες ταὐτὰ ἐγένοντο καὶ τέχνας καὶ λόγους καὶ πολέμους ἀγαθοί. Ἀντίλοχος δὲ τοῦ πατρὸς ὑπεραποθανὼν τοσαύτης ἔτυχεν εὐκλείας, ὥστε μόνος φιλοπάτωρ παρὰ τοῖς Ἕλλησιν ἀναγορευθῆναι. Αἰνείας δὲ σώσας μὲν τοὺς πατρῴους καὶ μητρῴους 15
θεούς, σώσας δὲ καὶ αὐτὸν τὸν πατέρα, δόξαν εὐσεβείας ἐξηνέγκατο, ὥστε καὶ οἱ πολέμιοι μόνῳ ἐκείνῳ ὧν ἐκράτησαν ἐν Τροίᾳ ἔδοσαν μὴ συληθῆναι. Ἀχιλ- 16
λεὺς δ' ἐν ταύτῃ τῇ παιδείᾳ τραφεὶς οὕτω καλὰ καὶ μεγάλα μνημεῖα παρέδωκεν, ὥστε οὔτε λέγων οὔτ' ἀκούων περὶ ἐκείνου οὐδεὶς ἀπαγορεύει. οὗτοι δὲ 17
τοιοῦτοι ἐγένοντο ἐκ τῆς ἐπιμελείας τῆς παρὰ Χίρωνος, ὧν οἱ μὲν ἀγαθοὶ ἔτι καὶ νῦν ἐρῶσιν, οἱ δὲ κακοὶ φθονοῦσιν, ὥστ' ἐν μὲν τῇ Ἑλλάδι εἴ τῳ συμφοραὶ ἐγίγνοντο ἢ πόλει ἢ βασιλεῖ, ἐλύοντο δι' αὐτούς· εἰ δὲ πρὸς τοὺς βαρβάρους πάντας πάσῃ τῇ Ἑλλάδι νεῖκος ἢ πόλεμος ἦν, διὰ τούτους οἱ Ἕλληνες ἐκράτουν, ὥστε ἀνίκητον τὴν Ἑλλάδα παρέχεσθαι.

Ἐγὼ μὲν οὖν παραινῶ τοῖς νέοις μὴ καταφρονεῖν 18
κυνηγεσίων μηδὲ τῆς ἄλλης παιδείας· ἐκ τούτων γὰρ γίγνονται τὰ εἰς τὸν πόλεμον ἀγαθοί, εἵς τε τὰ ἄλλα ἐξ ὧν ἀνάγκη καλῶς νοεῖν καὶ λέγειν καὶ πράττειν.

Πρῶτον μὲν οὖν χρὴ ἐλθεῖν ἐπὶ τὸ ἐπιτήδευμα τὸ II
τῶν κυνηγεσίων τὸν ἤδη ἐκ παιδὸς ἀλλάττοντα τὴν ἡλικίαν, εἶτα δὲ καὶ ἐπὶ τὰ ἄλλα παιδεύματα, τὸν μὲν ἔχοντα σκεψάμενον τὴν οὐσίαν· ᾧ μὲν ἔστιν ἱκανή,

7 *ἀναρρηθῆναι* C. | 11 *ἐκράτησεν* Raderm. | 13 *μνήμῃ* Schneid. | 21 *παρασχεῖν* Schneid. | 23 [*μηδὲ - παιδείας*] Dind. | 28 [*εἶτα - παιδεύματα*] Raderm. | 28.29 [*τὸν μὲν ἔχοντα*] Dind. *τὸν νοῦν ἔχ.* Diels.

ἀξίως τῆς αὐτοῦ ὠφελείας, ᾧ δὲ μὴ ἔστιν, ἀλλ' οὖν τήν γε προθυμίαν παρεχέσθω μηδὲν ἐλλείπων τῆς 2 ἑαυτοῦ δυνάμεως. ὅσα δὲ καὶ οἷα δεῖ παρεσκευασμένον ἐλθεῖν ἐπ' αὐτὸ φράσω καὶ αὐτὰ καὶ τὴν ἐπιστήμην ἑκάστου, ἵνα προειδὼς ἐγχειρῇ τῷ ἔργῳ. καὶ μηδεὶς αὐτὰ φαῦλα νομισάτω εἶναι· ἄνευ γὰρ δὴ τούτων οὐκ 3 ἂν εἴη πρᾶξις. χρὴ δὲ τὸν μὲν ἀρκυωρὸν εἶναι ἐπιθυμοῦντα τοῦ ἔργου καὶ τὴν φωνὴν Ἕλληνα, τὴν δὲ ἡλικίαν περὶ ἔτη εἴκοσι, τὸ δὲ εἶδος ἐλαφρόν, ἰσχυρόν, ψυχὴν δὲ ἱκανόν, ἵνα τῶν πόνων ἐν τούτοις 4 κρατῶν χαίρῃ τῷ ἔργῳ. τὰς δὲ ἄρκυς Φασιανοῦ ἢ Καρχηδονίου λεπτοῦ λίνου καὶ τὰ ἐνόδια καὶ τὰ δίκτυα. ἔστωσαν δὲ αἱ μὲν ἄρκυς ἐννεάλινοι, τὸ δὲ μέγεθος πεντεσπίθαμοι, διπάλαιστοι δὲ τοὺς βρόχους, περικεί- 5 σθωσαν δὲ τοὺς περιδρόμους ἀναμμάτους, ἵνα εὔτροχοι ὦσιν, τὰ δ' ἐνόδια δωδεκάλινα, τὰ δὲ δίκτυα ἑκκαιδεκάλινα, τὸ δὲ μέγεθος τὰ μὲν ἐνόδια διώρυγα, τετρώρυγα, πεντώρυγα, τὰ δὲ δίκτυα δεκώρυγα, εἰκοσώρυγα, τριακοντώρυγα· ἐὰν δὲ ᾖ μείζω, δυσμεταχείριστα ἔσται· ἀμφότερα δὲ τριακονθάμματα, καὶ 6 τῶν βρόχων τὸ διάστημα ἴσον ταῖς ἄρκυσιν. ἐν δὲ τοῖς ἀκρωλενίοις τὰ μὲν ἐνόδια ἐχέτω μαστούς, τὰ δὲ δίκτυα δακτυλίους, τοὺς δὲ περιδρόμους ἀπὸ στρο- 7 φείων. αἱ δὲ σχαλίδες αἱ μὲν τῶν ἀρκύων τὸ μῆκος δέκα παλαιστῶν, ἔστωσαν δὲ καὶ ἐλάττους· αἱ μὲν ἄνισοι αὐτῶν ἐν τοῖς ἑτεροκλινέσι τῶν χωρίων, ἵνα ἴσα τὰ ὕψη ἐξαίρωσιν, ἐν δὲ τοῖς ὁμαλέσιν αἱ ἴσαι· αὗται δ' εὐπερίσπαστοι τὰ ἄκρα καὶ αὗται λεῖαι· αἱ

13 ἐννεάλινοι ἐκ τριῶν τόνων, ἕκαστος δὲ τόνος ἐκ τριῶν λίνων add. Schneid. e Poll. V 27 | 14 πεντεσπίθ. C.: πεντασπίθ. | 16.17 τὰ δὲ δίκτυα ἑκκ. om. codd. serv. Poll. | 28 [καὶ αὗται] Raderm. καὶ αὐταὶ Saupp.

δὲ τῶν ἐνοδίων τοῦ τῶν ἀρκύων διπλάσιαι, αἱ δὲ τῶν δικτύων τὸ μὲν μέγεθος πεντεσπίθαμοι, δίκρα ἔχουσαι μικρά, τὰ ἐντμήματα μὴ βαθέα· εὐπαγεῖς δὲ πᾶσαι καὶ μὴ ἀσύμμετροι τὰ πάχη πρὸς τὰ μήκη. τῷ δὲ πλήθει τῶν σχαλίδων οἷόν τ' ἐστὶ χρῆσθαι 8 πρὸς τὰ δίκτυα πολλῶν καὶ ὀλίγων· ἐλαττόνων μέν, ἂν σφόδρα τείνηται ἐν τῇ στάσει· πλειόνων δ', ἂν ἡσυχῇ. ἔστω δὲ καί, ἐν ὅτῳ ἔσονται αἱ ἄρκυς καὶ 9 τὰ ἐνόδια καὶ τὰ δίκτυα, κυνοῦχος μόσχειος καὶ δρέπανα, ἵνα ᾖ τῆς ὕλης τέμνοντα φράττειν τὰ δεόμενα.

Τὰ δὲ γένη τῶν κυνῶν διττά, αἱ μὲν καστόριαι, III αἱ δὲ ἀλωπεκίδες. ἔχουσι δ' αἱ μὲν καστόριαι τὴν ἐπωνυμίαν ταύτην, ὅτι Κάστωρ ἡσθεὶς τῷ ἔργῳ καθαρὰς αὐτὰς διεφύλαξεν· αἱ δ' ἀλωπεκίδες, διότι ἐκ κυνῶν τε καὶ ἀλωπέκων ἐγένοντο· ἐν δὲ πολλῷ χρόνῳ συγκέκραται αὐτῶν ἡ φύσις. χείρους δὲ καὶ 2 πλείους αἱ τοιαίδε, μικραί, γρυπαί, χαροποί, μυωποί, [αἰσχραί,] σκληραί, ἀσθενεῖς, ψιλαί, ὑψηλαί, ἀσύμμετροι, ἄψυχοι, ἄρρινες, οὐκ εὔποδες. αἱ μὲν οὖν μι- 3 κραὶ πολλάκις ἀποστεροῦνται τῆς ἐργασίας διὰ τὸ μικρόν· αἱ δὲ γρυπαὶ ἄστομοι καὶ διὰ τοῦτο οὐ κατέχουσι τὸν λαγῶ· χαροποὶ δὲ καὶ μυωποὶ χείρω τὰ ὄμματα ἔχουσιν, ἄμορφοι δὲ καὶ αἰσχραὶ ὁρᾶσθαι· αἱ δὲ σκληραὶ τὰ εἴδη χαλεπῶς ἀπὸ τῶν κυνηγεσίων ἀπαλλάττουσι· πονεῖν δὲ ἀδύνατοι αἱ ἀσθενεῖς καὶ αἱ ψιλαὶ δέ· καὶ αἱ ὑψηλαὶ μὲν καὶ αἱ ἀσύμμετροι ἀσύντακτα ἔχουσαι τὰ σώματα βαρέως διαφοιτῶσιν· αἱ ἄψυχοι δὲ καὶ λείπουσι τὰ ἔργα, καὶ ἀφίστανται [τὸν ἥλιον] ὑπὸ τὰς σκιὰς καὶ κατακλίνονται· αἱ δὲ

1 τοῦ (vel τῶν) P. : τὸν A om. cett. | 5 σχαλίδων Steph. : σταλίδων | 18 αἰσχραὶ del. Saupp. | 27 βήματα Herw. | 28 δὲ καὶ P. : καὶ AB δὲ cett. | 29 τὸν ἥλιον del. P. τοῦ ἡλίου Sturz.

ἄρρινες μόλις καὶ ὀλιγάκις αἰσθάνονται τοῦ λαγῶ· αἱ δὲ ἄποδες οὐδὲ ἐὰν ὦσιν εὔψυχοι, τοὺς πόνους δύνανται ἀνέχεσθαι, ἀλλ' ἀπαγορεύουσι διὰ τὸ ἀσθενὲς τῶν ποδῶν.

4 Εἰσὶ δὲ καὶ τῆς ἰχνεύσεως πολλοὶ τρόποι ἐκ τοιούτων τῶν κυνῶν· αἱ μὲν γὰρ ἐπειδὰν λάβωσι τὰ ἴχνη, πορεύονται ἀσήμως ὥστε μὴ γιγνώσκεσθαι ὅτι ἰχνεύουσιν, αἱ δὲ τὰ ὦτα μὲν διακινοῦσι, τὴν δὲ οὐρὰν ἡσυχῇ ἔχουσιν, αἱ δὲ τὰ ὦτα μὲν ἀκίνητα ἔχου-
5 σιν, ἄκρᾳ δὲ τῇ οὐρᾷ σείουσιν. ἄλλαι δὲ συνάγουσι τὰ ὦτα καὶ ἐπισκυθρωπάσασαι διὰ τοῦ ἴχνους, σχάσασαι τὴν οὐρὰν καὶ φράξασαι διατρέχουσι· πολλαὶ δὲ τούτων μὲν οὐδὲν ποιοῦσι, μανικῶς δὲ περιφερόμεναι ὑλακτοῦσι περὶ τὰ ἴχνη, ὁτὲ δὲ εἰσπίπτουσιν
6 εἰς αὐτά, ἀφρόνως καταπατοῦσαι τὰς αἰσθήσεις. εἰσὶ δὲ αἳ κύκλοις πολλοῖς χρώμεναι καὶ πλάνοις, ὑπολαμβάνουσαι ἐκ τοῦ πρόσω τὰ ἴχνη παραλείπουσι τὸν λαγῶ, ὁσάκις δ' ἐπιτρέχουσι τὰ ἴχνη, εἰκάζουσι, προορώμεναι δὲ τὸν λαγῶ τρέμουσι καὶ οὐκ ἐπέρχον-
7 ται, πρὶν ἴδωσιν ὑποκινοῦντα. ὅσαι δὲ τὰ τῶν ἄλλων κυνῶν εὑρήματα ἐν ταῖς ἰχνείαις καὶ μεταδρομαῖς προθέουσαι θαμινὰ σκοποῦσιν ἑαυταῖς ἀπίστως ἔχουσι· θρασεῖαι δὲ αἳ οὐκ ἐῶσι τῶν συνεργῶν τὰς σοφωτέρας εἰς τὸ πρόσθεν ἰέναι, ἀλλ' ἀνείργουσι θορυβοῦσαι· αἱ δὲ ἀσπαζόμεναι τὰ ψευδῆ καὶ ὑπερλαμ-
πρυνόμεναι ἐφ' ὅτῳ ἂν τύχωσι, προάγουσι συνειδυῖαι ἑαυταῖς ὅτι ἐξαπατῶσιν· αἱ δ' οὐκ εἰδυῖαι τὸ αὐτὸ ποιοῦσι ταύταις· φαῦλαι δὲ αἱ οὐκ ἀπαλλαττόμεναι
8 ἐκ τῶν τριμμῶν τὰ ὀρθὰ οὐ γιγνώσκουσαι. ὅσαι δὲ

5.6 *τοιούτων τῶν* P. : *τῶν αὐτῶν* | 8 *μὲν* P. : *μόνον* | 23 *αἱ... ἐῶσαι* Hermog. *π. ἰ.* rhet. gr. III 318.319 Walz | 24 *ἰέναι* Hermog. *προιέναι* libri | 28.29 *αἱ... γιγνώσκουσαν* Dind.

τῶν κυνῶν τὰ ἴχνη τὰ μὲν εὐναῖα ἀγνοοῦσι, τὰ δὲ δρομαῖα ταχὺ διατρέχουσιν, οὐκ εἰσὶ γνήσιαι. διώκουσι δὲ αἱ μὲν ἀρχόμεναι σφόδρα, διὰ δὲ μαλακίαν ἀνιᾶσιν, αἱ δὲ ὑποθέουσιν, εἶτα ἁμαρτάνουσιν, ἕτεραι δὲ ἀνοήτως ἐμπίπτουσαι εἰς τὰς ὁδοὺς ἁμαρτάνουσι, τὸ ἀνήκουστον πολὺ ἔχουσαι. πολλαὶ δὲ τὰ διώγματα ἀφιεῖσαι 9 ἐπανέρχονται διὰ τὸ μισόθηρον, πολλαὶ δὲ διὰ τὸ φιλάνθρωπον· αἱ δ' ἐκ τῶν ἰχνῶν κεκλαγγυῖαι ἐξαπατᾶν πειρῶνται ἀληθῆ τὰ ψευδῆ ποιούμεναι. εἰσὶ δὲ αἳ τοῦτο μὲν οὐ ποιοῦσι, μεταξὺ δὲ θέουσαι 10 ἄν ποθεν ἀκούσωσι κραυγῆς, καταλείπουσαι τὰ αὐτῶν ἔργα ἀπρονοήτως ἐπὶ τοῦτο φέρονται· μεταθέουσι δὲ αἱ μὲν ἀσαφῶς, αἱ δὲ πολὺ ὑπολαμβάνουσαι, δοξάζουσαι δὲ ἕτεραι· αἱ δὲ πεπλασμένως, φθονερῶς δὲ ἄλλαι ἐκκυνοῦσι παρὰ τὸ ἴχνος διὰ τέλους συμπεριφερόμεναι. τὰ μὲν οὖν πλεῖστα τούτων φύσει 11 ἔχουσαι, τὰ δὲ ἠγμέναι ἀνεπιστημόνως δύσχρηστοί εἰσιν· αἱ τοιαῦται μὲν οὖν κύνες ἀποτρέψειαν ἂν τοὺς ἐπιθυμοῦντας κυνηγεσίων. οἵας δὲ δεῖ εἶναι τοῦ αὐτοῦ γένους τά τε εἴδη καὶ τὰ ἄλλα φράσω.

Πρῶτον μὲν οὖν χρὴ εἶναι μεγάλας, εἶτα ἐχούσας IV τὰς κεφαλὰς ἐλαφράς, σιμάς, ἀρθρώδεις, ἰνώδη τὰ κάτωθεν τῶν μετώπων, ὄμματα μετέωρα, μέλανα, λαμπρά, μέτωπα πλατέα, τὰς διακρίσεις βαθείας, ὦτα μικρά, λεπτά, ψιλὰ ὄπισθεν, τραχήλους μακρούς, ὑγρούς, περιφερεῖς, στήθη πλατέα, μὴ ἄσαρκα, ἀπὸ τῶν ὤμων τὰς ὠμοπλάτας διεστώσας μικρόν, σκέλη τὰ πρόσθια μικρά, ὀρθά, στρογγύλα, στιφρά, ὀρθοὺς τοὺς ἀγκῶνας, πλευρὰς μὴ ἐπὶ γῆν βαθείας, ἀλλ' εἰς τὸ πλάγιον παρηκούσας, ὀσφῦς σαρκώδεις, τὰ μεγέθη μεταξὺ μακρῶν καὶ βραχειῶν, μήτε ὑγρὰς λίαν μήτε

25 μακρὰ Schneid. ex Arrian. Cyn. V 7.

σκληράς, λαγόνας μεταξὺ μεγάλων καὶ μικρῶν, ἰσχία στρογγύλα, ὄπισθεν σαρκώδη, ἄνωθεν δὲ μὴ συνδεδεμένα, ἔνδοθεν προσεσταλμένα, τὰ κάτωθεν τῶν κενεώνων λαγαρὰ καὶ αὐτοὺς τοὺς κενεῶνας, οὐρὰς μακράς, ὀρθάς, λιγυράς, μηριαίας [μὴ] σκληράς, ὑποκώλια μακρά, περιφερῆ, εὐπαγῆ, σκέλη πολὺ μείζω τὰ ὄπισθεν τῶν ἔμπροσθεν καὶ ἐπίρρικνα, πόδας περι-
2 φερεῖς. ἂν δ' ὦσι τοιαῦται αἱ κύνες, ἔσονται ἰσχυραὶ τὰ εἴδη, ἐλαφραί,. σύμμετροι, ποδώκεις, καὶ ἀπὸ τῶν
3 προσώπων φαιδραὶ καὶ εὔστομοι. ἰχνευέτωσαν δὲ ἐκ τῶν τριμμῶν ταχὺ ἀπαλλαττόμεναι, τιθεῖσαι τὰς κεφαλὰς ἐπὶ γῆν λεχρίας, ἐμμειδιῶσαι μὲν πρὸς τὰ ἴχνη, ἐπικαταβάλλουσαι δὲ τὰ ὦτα, καὶ τὰ μὲν ὄμματα πυκνὰ διακινοῦσαι, ταῖς δὲ οὐραῖς διασαίνουσαι, κύκλους πολλοὺς πρὸς τὰς εὐνὰς προΐτωσαν ὁμοῦ
4 διὰ τοῦ ἴχνους ἅπασαι. ὅταν δὲ περὶ αὐτὸν ὦσι τὸν λαγῶ, δῆλον ποιείτωσαν τῷ κυνηγέτῃ θᾶττον φοιτῶσαι, μᾶλλον γνωρίζουσαι ἀπὸ τοῦ θυμοῦ, ἀπὸ τῆς κεφαλῆς, ἀπὸ τῶν ὀμμάτων, ἀπὸ τῆς μεταλλάξεως τῶν σχημάτων καὶ ἀπὸ τῶν ἀντιβλεμμάτων καὶ ἐμβλεμμάτων εἰς τὴν ὕλην καὶ ἀναστρεμμάτων τῶν ἐπὶ τὰς καθέδρας τοῦ λαγῶ καὶ ἀπὸ τῶν εἰς τὸ πρόσθεν καὶ ὄπισθεν καὶ εἰς τὸ πλάγιον διαρριμμάτων, καὶ ἀπὸ τοῦ ἀληθῶς ἤδη αἰωρεῖσθαι τὴν
5 ψυχὴν καὶ ὑπερχαίρειν, ὅτι τοῦ λαγῶ ἐγγύς εἰσι. διωκέτωσαν δὲ ἐρρωμένως καὶ μὴ ἐπανιεῖσαι σὺν πολλῇ κλαγγῇ καὶ ὑλαγμῷ, συνεκπερῶσαι μετὰ τοῦ λαγῶ πάντῃ. μεταθείτωσαν δὲ ταχὺ καὶ λαμπρῶς,

3 *προοεσταλμ.* Poll. V 58 *προεσταλμ.* libri | 5 *μὴ* del. Jungermann ad Poll. | 6 *εὐπαγῆ* Dind. : *εὐπαχῆ* | 7 *ἐπίρρικνα* Poll. *περικνὰ* libri | 8 *δ'* add. P. | 12 *λεχρίας* Schneid. : *δαχρείας* s. *δεχρείας* | *ἐπιμειδιῶσαι* P. ex Arrian. Cyn. V3 | 15 *εὐνὰς* Schneid.: *πλευρὰς* | 28 *μεταθείτωσαν* Steph. : *μετατιθέτωσαν*.

πυκνὰ μεταφερόμεναι καὶ ἐπανακλαγγάνουσαι δικαίως· πρὸς δὲ τὸν κυνηγέτην μὴ ἐπανίτωσαν λιποῦσαι τὰ ἴχνη. μετὰ δὲ τοῦ εἴδους καὶ τοῦ ἔργου 6
τούτου εὔψυχοι ἔστωσαν καὶ εὔρινες καὶ εὔποδες καὶ
εὐτριχες. εὔψυχοι μὲν οὖν ἔσονται, ἐὰν μὴ λείπωσι
τὰ κυνηγέσια, ὅταν ᾖ πνίγη· εὔρινες δέ, ἐὰν τοῦ λαγῶ
ὀσφραίνωνται ἐν τόποις ψιλοῖς, ξηροῖς, προσηλίοις
τοῦ ἄστρου ἐπιόντος· εὔποδες δέ, ἐὰν τῇ αὐτῇ ὥρᾳ
μὴ καταρρηγνύωνται αὐτῶν οἱ πόδες τὰ ὄρη θεου-
σῶν· εὔτριχες δέ, ἐὰν ἔχωσι λεπτὴν καὶ πυκνὴν καὶ
μαλακὴν τὴν τρίχα. τὰ δὲ χρώματα οὐ χρὴ εἶναι 7
τῶν κυνῶν οὔτε πυρρὰ οὔτε μέλανα οὔτε λευκὰ παντελῶς· ἔστι γὰρ οὐ γενναῖον τοῦτο, ἀλλ' ἁπλοῦν καὶ
θηριῶδες. αἱ μὲν οὖν πυρραὶ ἔχουσαι ἔστωσαν λευ- 8
κὴν τρίχα ἐπανθοῦσαν περὶ τὰ μέτωπα καὶ αἱ μέλαιναι, αἱ δὲ λευκαὶ πυρράν· ἐπὶ δὲ ταῖς μηριαίαις
ἄκραις τρίχας ὀρθάς, βαθείας, καὶ ἐπὶ ταῖς ὀσφύσι
καὶ ταῖς οὐραῖς κάτω, ἄνωθεν δὲ μετρίας.

Ἄγειν δὲ ἄμεινον τὰς κύνας εἰς τὰ ὄρη πολλάκις, 9
τὰ δὲ ἔργα ἧττον· τὰ μὲν γὰρ ὄρη οἷόν τ' ἐστὶ καὶ
ἰχνεύειν καὶ μεταθεῖν καθαρῶς, τὰ δὲ ἔργα οὐδέτερα
διὰ τοὺς τριμμούς. ἔστι δὲ καὶ ἄνευ τοῦ εὑρίσκειν 10
τὸν λαγῶ ἀγαθὸν ἄγειν τὰς κύνας εἰς τὰ τραχέα·
καὶ γὰρ εὔποδες γίγνονται καὶ τὰ σώματα διαπονοῦσαι ἐν τόποις τοιούτοις ὠφελοῦνται. ἀγέσθωσαν δὲ 11
θέρους μὲν μέχρι μεσημβρίας, χειμῶνος δὲ δι' ἡμέρας, μετοπώρου δ' ἔξω μεσημβρίας, ἐντὸς δὲ ἑσπέρας τὸ ἔαρ· ταῦτα γὰρ μέτρια.

1.2 *εἰκαίως* Steph. | 6 *πνῖγος* C. | 7 *προσείλοις* C. | 13.14 *τοῦτο ἀλλὰ τὸ ἁπλοῦν καὶ θηρ.* Raderm. *τοῦτο τὸ ἁπλοῦν, ἀλλὰ θηρ.* Schneid. ex Arrian. Cyn. VI 1 | 23 *εἰς* Aelian. H. A. XIII 24, margo D, om. cett.

V Τὰ δὲ ἴχνη τοῦ λαγῶ τοῦ μὲν χειμῶνος μακρά
ἐστι διὰ τὸ μῆκος τῶν νυκτῶν· τοῦ δὲ θέρους βρα-
χέα διὰ τὸ ἐναντίον. χειμῶνος μὲν οὖν πρῳ οὐκ ὄζει
αὐτῶν, ὅταν πάχνη ᾖ ἢ παγετός· ἡ μὲν γὰρ πάχνη
τῇ αὑτῆς ἰσχύι ἀντισπάσασα τὸ θερμὸν ἔχει ἐν ἑαυτῇ, 5
2 ὁ δὲ παγετὸς ἐπιπήξας. καὶ αἱ κύνες μαλκίουσαι τὰς
ῥῖνας οὐ δύνανται αἰσθάνεσθαι, ὅταν ᾖ τοιαῦτα, πρὶν
ἂν ὁ ἥλιος διαλύσῃ αὐτὰ ἢ προϊοῦσα ἡ ἡμέρα· τότε
δὲ καὶ αἱ κύνες ὀσφραίνονται καὶ αὐτὰ ἐπαναφερό-
3 μενα ὄζει. ἀφανίζει δὲ καὶ ἡ πολλὴ δρόσος κατα- 10
φέρουσα αὐτά, καὶ οἱ ὄμβροι οἱ γιγνόμενοι διὰ
χρόνου ὀσμὰς ἄγοντες τῆς γῆς ποιοῦσι δύσοσμον,
ἕως ἂν ψυχθῇ· χείρω δὲ καὶ τὰ νότια ποιεῖ· ὑγραί-
νοντα γὰρ διαχεῖ· τὰ δὲ βόρεια, ἐὰν ᾖ ἄλυτα, συνί-
4 στησι καὶ σῴζει. οἱ δὲ ὑετοὶ κατακλύζουσι καὶ αἱ 15
ψεκάδες, καὶ ἡ σελήνη ἀμαυροῖ τῷ θερμῷ, μάλιστα
δὲ ὅταν ᾖ πανσέληνος· καὶ μανότατα τότε· χαίροντες
γὰρ τῷ φέγγει ἐπαναρριπτοῦντες μακρὰν διαιροῦσιν
ἀντιπαίζοντες· ταραχώδη δέ, ὅταν ἀλώπεκες προδιεξ-
5 έλθωσι, γίγνεται. τὸ δὲ ἔαρ κεκραμένον τῇ ὥρᾳ 20
καλῶς παρέχει τὰ ἴχνη λαμπρά, πλὴν εἴ τι ἡ γῆ
ἐξανθοῦσα βλάπτει τὰς κύνας, εἰς τὸ αὐτὸ συμμει-
γνύουσα τῶν ἀνθῶν τὰς ὀσμάς. λεπτὰ δὲ καὶ ἀσαφῆ
τοῦ θέρους· διάπυρος γὰρ οὖσα ἡ γῆ ἀφανίζει τὸ
θερμὸν ὃ ἔχουσιν· ἔστι γὰρ λεπτόν· καὶ αἱ κύνες 25
ἧττον ὀσφραίνονται τότε διὰ τὸ ἐκλελύσθαι τὰ σώματα.
τοῦ δὲ μετοπώρου καθαρά· ὅσα γὰρ ἡ γῆ φέρει, τὰ
μὲν ἥμερα συγκεκόμισται, τὰ δὲ ἄγρια γήρᾳ διαλέ-
λυται· ὥστε οὐ παραλυποῦσι τῶν καρπῶν αἱ ὀσμαὶ
6 εἰς ταὐτὰ φερόμεναι. ἔστι δὲ τοῦ χειμῶνος καὶ τοῦ 30

---

6 *μαλκίουσαι* C. *μαλκιῶσαι* Saupp. : *μαλακιῶσαι* | 16 *ψακάδες* Dind. | 18 *μακρὰν* Poll. V 67 *μακρὰ* libri.

θέρους καὶ τοῦ μετοπώρου τὰ ἴχνη ὀρθὰ ἐπὶ πολύ, τοῦ δ' ἦρος συμπεπλεγμένα· τὸ γὰρ θηρίον συνδυάζεται μὲν ἀεί, μάλιστα δὲ ταύτην τὴν ὥραν· ὥστε διὰ τοῦτο ἐξ ἀνάγκης μετ' ἀλλήλων πλανώμενοι τοιαῦτα ποιοῦσιν. ὄζει δὲ τῶν ἰχνῶν ἐπὶ πλείω χρόνον 7 τῶν εὐναίων ἢ τῶν δρομαίων· τὰ μὲν γὰρ εὐναῖα ὁ λαγῶς πορεύεται ἐφιστάμενος, τὰ δὲ δρομαῖα ταχύ· ἡ γῆ οὖν τῶν μὲν πυκνοῦται, τῶν δὲ οὐ πίμπλαται. ἐν δὲ τοῖς ὑλώδεσι μᾶλλον ἢ ἐν τοῖς ψιλοῖς ὄζει· διατρέχων γὰρ καὶ ἀνακαθίζων ἅπτεται πολλῶν. κατακλίνονται δ' εἰς ἃ ἡ γῆ φύει ἢ ἔχει ἐφ' ἑαυ- 8 τῆς ὑπὸ παντί, ἐπ' αὐτῶν, ἐν αὐτοῖς, παρ' αὐτά, ἄπωθεν πολύ, μικρόν, μεταξὺ τούτων· ὁτὲ δὲ καὶ ἐν τῇ θαλάττῃ διαρριπτῶν ἐπὶ τὸ δυνατὸν καὶ ἐν ὕδατι, ἐάν τι ᾖ ὑπερέχον ἢ ἐμπεφυκὸς ἐν τούτῳ. ὁ μὲν 9 οὖν εὐναῖος [ποιούμενος εὐνὴν ἐπὶ πολὺ] ὅταν μὲν ᾖ ψύχη, ἐν εὐδιεινοῖς, ὅταν δὲ καύματα, ἐν παλισκίοις, τὸ δὲ ἔαρ καὶ τὸ μετόπωρον ἐν προσηλίοις· οἱ δὲ δρομαῖοι οὐχ οὕτω διὰ τὸ ὑπὸ τῶν κυνῶν ἔκπληκτοι γίγνεσθαι. κατακλίνεται δὲ ὑποθεὶς τὰ ὑποκώλια ὑπὸ 10 τὰς λαγόνας, τὰ δὲ πρόσθεν σκέλη τὰ πλεῖστα συνθεὶς καὶ ἐκτείνας, ἐπ' ἄκρους δὲ τοὺς πόδας τὴν γένυν καταθείς, τὰ δὲ ὦτα ἐπιπετάσας ἐπὶ τὰς ὠμοπλάτας, εἶτα δὲ ὑποστέγει τὰ ὑγρά· ἔχει δὲ καὶ τὴν τρίχα στεγανήν· πυκνὴ γὰρ καὶ μαλακή. καὶ ὅταν 11 μὲν ἐγρηγόρῃ, καταμύει τὰ βλέφαρα, ὅταν δὲ καθεύδῃ, τὰ μὲν βλέφαρα ἀναπέπταται ἀκίνητα, οἱ δὲ ὀφθαλμοὶ ἀτρέμας ἔχουσι· τοὺς δὲ μυκτῆρας, ὅταν μὲν εὕδῃ κινεῖ πυκνά, ὅταν δὲ μή, ἧττον. ὅταν 12 δὲ ἡ γῆ βρύῃ, μᾶλλον τὰ ἔργα ἢ τὰ ὄρη ἔχου-

---

16 *ποιούμενος - πολὺ* del. P. | 19 *ἔκπληκτοι* Poll. V 72 *ἐκπλεκτοι* libri.

σιν. ὑπομένει δὲ πανταχοῦ ἰχνευόμενος, ἐὰν μήτι περίφοβος τῆς νυκτὸς γένηται· παθὼν δὲ τοῦτο
13 ὑποκινεῖ. πολύγονον δ' ἐστὶν οὕτως, ὥστε τὰ μὲν τέτοκε, τὰ δὲ τίκτει, τὰ δὲ κυεῖ. τῶν δὲ μικρῶν λαγίων ὄζει μᾶλλον ἢ τῶν μεγάλων· ἔτι γὰρ ὑγρο-
14 μελῆ ὄντα ἐπισύρεται ὅλα ἐπὶ τῆς γῆς· τὰ μὲν οὖν λίαν νεογνὰ οἱ φιλοκυνηγέται ἀφιᾶσι τῇ θεῷ. οἱ δὲ ἤδη ἔτειοι τάχιστα θέουσι τὸν πρῶτον δρόμον, τοὺς δ' ἄλλους οὐκέτι· εἰσὶ γὰρ ἐλαφροί, ἀδύνατοι δέ.
15 λαμβάνειν δὲ τοῦ λαγῶ τὰ ἴχνη ὑπάγοντα τὰς κύνας ἐκ τῶν ἔργων ἄνωθεν· ὅσοι δὲ μὴ ἔρχονται αὐτῶν εἰς τὰ ἐργάσιμα, εἰς τοὺς λειμῶνας, τὰς νάπας, τὰ ῥεῖθρα, τοὺς λίθους, τὰ ὑλώδη· καὶ ἐὰν ὑποκινῇ, μὴ ἀναβοᾶν, ἵνα μὴ αἱ κύνες ἔκφρονες γιγνόμεναι
16 χαλεπῶς τὰ ἴχνη γνωρίζωσιν. εὑρισκόμενοι δὲ ὑπ' αὐτῶν καὶ διωκόμενοι ἔστιν ὅτε διαβαίνουσι τὰ ῥεύματα, καὶ ὑποκάμπτουσι, καὶ καταδύονται εἰς φάραγγας καὶ εἰς ἰλεούς· πεφόβηνται γὰρ οὐ μόνον τὰς κύνας ἀλλὰ καὶ τοὺς ἀετούς· ὑπερβάλλοντες γὰρ τὰ σιμὰ καὶ τὰ ψιλὰ ἀναρπάζονται, ἕως ἂν ὦσιν ἔτειοι·
17 τοὺς δὲ μείζους ἐπιτρέχουσαι αἱ κύνες ἀφαιροῦνται. ποδωκέστατοι μὲν οὖν εἰσιν οἱ ὄρειοι, οἱ πεδινοὶ δὲ ἧττον, βραδύτατοι δὲ οἱ ἕλειοι· οἱ δ' ἐπὶ πάντας τοὺς τόπους πλανῆται χαλεποὶ πρὸς τοὺς δρόμους· τὰ γὰρ σύντομα ἴσασι· θέουσι γὰρ μάλιστα μὲν τὰ ἀνάντη
18 ἢ τὰ ὁμαλά, τὰ δὲ ἀνώμαλα ἀνομοίως, τὰ δὲ κατάντη ἥκιστα. διωκώμενοι δέ εἰσι κατάδηλοι μάλιστα μὲν διὰ γῆς κεκινημένης, ἐὰν ἔχωσιν ἐνὸν ἐρύθημα,

---

10 *ἐπάγοντα* Richards | 12 *εἰς* add. Diels | 18 *ἰλεοὺς* Poll. V 14 *εἰλοὺς* libri | 24 *πλάνητες* C. | 25 *γὰρ*] *δὲ* Herw. | 26 [*ἢ - ὁμαλὰ*] s. *ἧττον δὲ τὰ ὁμ.* s. *καὶ τὰ ὁμ.* P. | *ἀνομοίως*] *σπανίως* Herw. | 28 *ἐνὸν* Diels ; *ἔνιον* s. *ἔνιοι.*

καὶ διὰ καλάμης διὰ τὴν ἀνταύγειαν· κατάδηλοι δὲ καὶ ἐν τοῖς τριμμοῖς καὶ ἐν ταῖς ὁδοῖς, ἐὰν ὦσιν ἰσόπεδοι· τὸ γὰρ φανὸν τὸ ἐν αὐτοῖς ἐνὸν ἀντιλάμπει· ἄδηλοι δέ, ὅταν τοὺς λίθους, τὰ ὄρη, τὰ φέλλεια, τὰ δασέα ἀποχωρῶσι, διὰ τὴν ὁμόχροιαν. προλαμ- 19
βάνοντες δὲ τὰς κύνας ἐφίστανται καὶ ἀνακαθίζοντες ἐπαίρουσιν αὐτοὺς καὶ ἐπακούουσιν, εἴ που πλησίον κλαγγὴ ἢ ψόφος τῶν κυνῶν· καὶ ὅθεν ἂν ἀκούσωσιν ἀποτρέπονται. ὁτὲ δὲ καὶ οὐκ ἀκούσαντες, ἀλλὰ 20
δόξαντες ἢ πεισθέντες ὑπ' αὐτά, παρὰ ταὐτά, διὰ τῶν αὐτῶν, ἐπαλλάττοντες ἅλματα, ἐμποιοῦντες ἴχνεσιν ἴχνη, ἀποχωροῦσι. καί εἰσι μακροδρομώτατοι μὲν 21
οἱ ἐκ τῶν ψιλῶν εὑρισκόμενοι διὰ τὸ καταφανές, βραχυδρομώτατοι δὲ οἱ ἐκ τῶν δασέων· ἐμποδῶν γὰρ τὸ σκοτεινόν. δύο δὲ τὰ γένη ἐστὶν αὐτῶν· οἱ 22
μὲν γὰρ μεγάλοι, τὸ χρῶμα ἐπίπερκνοι καὶ τὸ λευκὸν τὸ ἐν τῷ μετώπῳ μέγα ἔχουσιν, οἱ δ' ἐλάττους ἐπίξανθοι, μικρὸν τὸ λευκὸν ἔχοντες. τὴν δὲ οὐρὰν οἱ 23
μὲν κύκλῳ περιποίκιλον, οἱ δὲ παράσειρον, καὶ τὰ ὄμματα οἱ μὲν ὑποχαροποί, οἱ δ' ὑπόγλαυκοι· καὶ τὰ μέλανα τὰ περὶ τὰ ὦτα ἄκρα οἱ μὲν ἐπὶ πολύ, οἱ δ' ἐπὶ μικρόν. ἔχουσι δὲ αὐτῶν αἱ πολλαὶ τῶν νήσων 24
τοὺς ἐλάττους, αἵ τ' ἔρημοι καὶ οἰκούμεναι· τὸ δὲ πλῆθος πλείους ἐν αὐταῖς ἢ ἐν ταῖς ἠπείροις· οὐ γάρ εἰσιν οὔτ' ἀλώπεκες ἐν ταῖς πολλαῖς αὐτῶν, αἵτινες καὶ αὐτοὺς καὶ τὰ τέκνα ἐπιοῦσαι ἀναιροῦνται, οὔτε ἀετοί· τὰ γὰρ μεγάλα ὄρη ἔχουσι μᾶλλον ἢ τὰ μικρά· ἐλάττω δ' ἐπὶ τὸ πολὺ τὰ ἐν ταῖς νήσοις. κυνηγέται 25
δὲ εἰς μὲν τὰς ἐρήμους ὀλιγάκις ἀφικνοῦνται, ἐν δὲ ταῖς οἰκουμέναις ὀλίγοι ὄντες καὶ οὐ φιλόθηροι οἱ

4 *κατὰ* add. ante *τοὺς* Löw. | 23 *αἱ* add. ante *οἰκούμ.* Schneid. | 30 *ὀλίγοι εἰσὶ* Dind. *ἁλιεύοντες* Raderm. *ὀλιγωροῦντες* P. *ὀλιγωροῦσι, ὄντες* Richards.

πολλοί· εἰς δὲ τὰς ἱερὰς τῶν νήσων οὐδὲ διαβιβάζειν οἷόν τε κύνας. ὅταν οὖν τῶν τε ὑπαρχόντων ὀλίγους ἐκθηρῶνται καὶ τῶν ἐπιγιγνομένων, ἀνάγκη
26 ἀφθόνους εἶναι. βλέπει δὲ οὐκ ὀξὺ διὰ πολλά· τά τε γὰρ ὄμματα ἔχει ἔξω καὶ τὰ βλέφαρα ἐλλείποντα καὶ οὐκ ἔχοντα προβολὴν ταῖς αὐγαῖς· ἡ ὄψις οὖν
27 διὰ ταῦτα ἀμαυρά, ἐσκεδασμένη. ἅμα δὲ τούτοις καὶ ἐν ὕπνῳ ὂν τὰ πολλὰ τὸ θηρίον οὐκ ὠφελεῖται πρὸς τὸ ὁρᾶν· καὶ ἡ ποδώκεια πρὸς τὸ ἀμβλυωπεῖν αὐτῷ πολὺ συμβάλλεται· ταχὺ γὰρ ἑκάστου παραφέρει τὴν
28 ὄψιν πρὶν νοῆσαι ὅ,τι ἐστί. καὶ οἱ φόβοι τῶν κυνῶν, ὅταν διώκωνται, ἑπόμενοι μετὰ τούτων, συνεξαιροῦνται τὸ προνοεῖσθαι. ὥστε διὰ ταῦτα προσπίπτων λανθάνει πρὸς πολλὰ καὶ εἰς τὰς ἄρκυς ἐμπίπτων.
29 εἰ δ' ἔφευγεν ὀρθόν, ὀλιγάκις ἂν ἔπασχε τὸ τοιοῦτον· νῦν δὲ περιβάλλων καὶ ἀγαπῶν τοὺς τόπους ἐν οἷς ἐγένετο καὶ ἐτράφη ἁλίσκεται. κατὰ πόδας δὲ οὐ πολλάκις ὑπὸ τῶν κυνῶν διὰ τὸ τάχος κρατεῖται. ὅσοι δὲ ἁλίσκονται, παρὰ φύσιν τοῦ σώματος, τύχῃ δὲ χρώμενοι· οὐδὲν γὰρ τῶν ὄντων ἰσομέγεθες τούτῳ
30 ὅμοιόν ἐστι πρὸς ἁρμόν· σύγκειται γὰρ ἐκ τοιούτων τὸ σῶμα. ἔχει γὰρ κεφαλὴν κούφην, μικράν, κατωφερῆ, στενὴν ἐκ τοῦ πρόσθεν, τράχηλον λεπτόν, περιφερῆ, οὐ σκληρόν, μῆκος ἱκανόν, ὠμοπλάτας ὀρθάς, ἀσυνδέτους ἄνωθεν, σκέλη τὰ ἀπ' αὐτῶν ἐλαφρά, σύγκωλα, στῆθος οὐ βαρύτονον, πλευρὰς ἐλαφράς, συμμέτρους, ὀσφῦν περιφερῆ, κωλῆν σαρκώδη, λαγόνας ὑγράς, λαπάρας ἱκανάς. ἰσχία στρογγύλα, πλήρη κύκλῳ, ἄνωθεν δὲ ὡς χρὴ διεστῶτα, μηροὺς μικρούς,

9 *ἀμβλυώττειν* Dind. | 12 *εἰλλόμενοι* Diels | 15 *ὀρθὸν* Dind. : *ὄρθιον* | 18 *τὸ* add. Löw. | 27 *κωλῆν* athen. IX 368 e *κοίλην* libri | 29 *μικροὺς* Poll. *μακροὺς* libri.

εὐπαγεῖς, ἔξωθεν μῦς ἐπιτεταμένους, ἔνδοθεν δὲ οὐκ ὀγκώδεις, ὑποκώλια μακρά, στιφρά, πόδας τοὺς πρόσθεν ἄκρως ὑγρούς, στενούς, ὀρθούς, τοὺς δὲ ὄπισθεν στερεούς, πλατεῖς, πάντας δὲ οὐδενὸς τραχέος φροντίζοντας, σκέλη τὰ ὄπισθεν μείζω πολὺ τῶν ἔμπροσθεν καὶ ἐγκεκλιμένα μικρὸν ἔξω, τρίχωμα βραχύ, κοῦφον. ἔστιν οὖν ἀδύνατον μὴ οὐκ εἶναι 31 ἐκ τοιούτων συνηρμοσμένον ἰσχυρόν, ὑγρόν, ὑπερέλαφρον· τεκμήριον δὲ ὡς ἐλαφρόν ἐστιν· ὅταν ἀτρέμα διαπορεύηται, πηδᾷ, (βαδίζοντα δὲ οὐδεὶς ἑόρακεν οὐδ' ὄψεται,) τιθεὶς εἰς τὸ ἐπέκεινα τῶν ἔμπροσθεν ποδῶν τοὺς ὄπισθεν καὶ ἔξω· καὶ θεῖ οὕτως. οὐρὰν 32 δὲ οὐκ ἐπιτηδείαν ἔχει πρὸς δρόμον· ἐπευθύνειν γὰρ οὐχ ἱκανὴ τὸ σῶμα διὰ τὴν βραχύτητα· ἀλλὰ τῷ ὠτὶ ἑκατέρῳ τοῦτο ποιεῖ, καὶ ὅταν ἁλίσκηται ὑπὸ τῶν κυνῶν· καταβάλλων γὰρ καὶ παραβάλλων τὸ ἕτερον οὖς πλάγιον, ὁποτέρᾳ ἂν λυπῆται, ἀπερειδόμενος δὴ ὠδὶ εἰς τοῦτο ὑποστρέφεται ταχύ, ἐν μικρῷ πολὺ καταλιπὼν τὸ ἐπιφερόμενον. οὕτω δὲ ἐπίχαρί 33 ἐστι τὸ θηρίον, ὥστε οὐδεὶς ὅστις οὐκ ἂν ἰδὼν ἰχνευόμενον, εὑρισκόμενον, μεταθεόμενον, ἁλισκόμενον, ἐπιλάθοιτ' ἂν εἴ του ἐρῴη.

Ἐν δὲ τοῖς ἔργοις κυνηγετοῦντα ἀπέχεσθαι ὧν 34 ὥραι φέρουσι καὶ τὰ νάματα καὶ τὰ ῥεῖθρα ἐᾶν. τὸ γὰρ ἅπτεσθαι τούτων αἰσχρὸν καὶ κακόν, καὶ ἵνα μὴ τῷ νόμῳ ἐναντίοι ὦσιν οἱ ἰδόντες. καὶ ὅταν ἀναγρία ἐμπίπτῃ, ἀναλύειν χρὴ τὰ περὶ τὸ κυνηγέσιον πάντα.

---

1 *μυοὶ* Schneid. *μὲν* ante *μῦς* P. | 2 *μακρὰ* Poll. *μικρὰ* libri | 4 *δὲ*] *δασέας καὶ* Schneid. | 16 *καταβάλλει* [*γὰρ*] *καὶ παραβάλλει* Steph. | *γὰρ*] *ἄρα* Löw. | 17.18 *ἐπερειδ.* Löw. | *δὴ ὠδὶ* P.: *διὸ δὴ* | 20 *θηρίον*] *θέαμα* Schneid. ex Arrian. Cyn. XVI 6 | 26 *διώντες* Diels.

VI *Κυνῶν δὲ κόσμος δέραια, ἱμάντες, τελαμωνίαι· ἔστω δὲ τὰ μὲν δέραια μαλακά, πλατέα, ἵνα μὴ θραύῃ τὰς τρίχας τῶν κυνῶν, οἱ δὲ ἱμάντες ἔχοντες ἀγκύλας τῇ χειρί, ἄλλο δὲ μηδέν· οὐ γὰρ καλῶς τηροῦσι τὰς κύνας οἱ ἐξ αὐτῶν εἰργασμένοι τὰ δέραια· αἱ δὲ τελαμωνίαι πλατεῖς τοὺς ἱμάντας, ἵνα μὴ τρίβωσι τὰς λαγόνας αὐτῶν· ἐγκατερραμμέναι δὲ ἐγκεντρίδες, ἵνα*
2 *τὰ γένη φυλάττωσιν. ἐξάγειν δ' αὐτὰς οὐ χρὴ ἐπὶ τὰ κυνηγέσια, ὅταν μὴ τὰ προσφερόμενα δέχωνται ἡδέως· τεκμήριον δὲ τοῦτο ὅτι οὐκ ἔρρωνται· μηδὲ ὅταν ἄνεμος πνέῃ μέγας· διαρπάζει γὰρ τὰ ἴχνη καὶ οὐ δύνανται ὀσφραίνεσθαι οὐδὲ αἱ ἄρκυς ἑστάναι*
3 *οὐδὲ τὰ δίκτυα. ὅταν δὲ τούτων μηδέτερον κωλύῃ, ἄγειν διὰ τρίτης ἡμέρας. τὰς δ' ἀλώπεκας μὴ ἐθίζειν [τὰς κύνας] διώκειν· διαφθορὰ γὰρ μεγίστη καὶ*
4 *ἐν τῷ δέοντι οὔποτε πάρεισιν. εἰς δὲ τὰ κυνηγέσια μεταβάλλοντα ἄγειν, ἵνα ὦσιν ἔμπειροι τῶν κυνηγεσίων, αὐτὸς δὲ τῆς χώρας. ἐξιέναι δὲ πρῴ, ἵνα τῆς ἰχνεύσεως μὴ ἀποστερῶνται, ὡς οἱ ὀψιζόμενοι ἀφαιροῦνται τὰς μὲν κύνας τοῦ εὑρεῖν τὸν λαγῶ, αὐτοὺς δὲ τῆς ὠφελείας· οὐ γὰρ ἐπιμένει τοῦ ἴχνους ἡ φύσις λεπτὴ οὖσα πᾶσαν ὥραν.*

5 *Τὴν δὲ στολὴν ὁ ἀρκυωρὸς ἐξίτω ἔχων ἐπὶ θήραν μὴ ἔχουσαν βάρος. τὰς δὲ ἄρκυς ἱστάτω εἰς ἀμφιδρόμους τραχείας, σιμάς, λαγαράς, σκοτεινάς,*
6 *ῥοῦς, χαράδρας, χειμάρρους ἀενάους (εἰς ταῦτα γὰρ μάλιστα φεύγει· εἰς ὅσα δὲ ἄλλα ἄπειρον εἰπεῖν) [τούτων δὲ παρόδους, διόδους, καταφανεῖς, λεπτάς,] εἰς ὄρθρον καὶ μὴ πρῴ, ἵνα ἐὰν ᾖ πλησίον τὸ ἀρκυστά-*

---

1 *τελαμωνίαι* Poll. V 55, margo D, *στελ(στιλ)μονίαι* cett. | 15 *τὰς κύνας* del. P. | 18 *αὐτὸς* Schneid. : *αὐτοὶ* | 23.24 *θήρᾳ* Dind. | 27 *εἰς*, post *ἄλλα*, transp. ante *ὅσα* Schneid. | 27.28 *τούτων - λεπτὰς* del. P. | 29 *ἵνα* post *ζητησίμων* transp. Schneid.

σιον τῶν ζητησίμων, μὴ φοβῆται ἀκούων ὁμοῦ τὸν ψόφον. ἐὰν δὲ ᾖ ἀπ' ἀλλήλων πολύ, ἧττον κωλύει πρῳ καθαρὰς ποιουμένου τὰς ἀρκυστασίας. ἵνα δ' 7
αὐτῶν μηδὲν ἀντέχεται, πηγνύειν τὰς σχαλίδας ὑπτίας,
ὅπως ἂν ἐπαγόμεναι ἔχωσι τὸ σύντονον· ἐπὶ δὲ ἄκρας ἴσους τοὺς βρόχους ἐπιβαλλέτω καὶ ὁμοίως ἀντερειδέτω, ἐπαίρων εἰς μέσον τὸν κεκρύφαλον. εἰς 8
δὲ τὸν περίδρομον ἐναπτέτω λίθον μακρὸν καὶ μέγαν, ἵνα ἡ ἄρκυς, ὅταν ἔχῃ τὸν λαγῶ, [μὴ] ἀντιτείνῃ·
στοιχιζέτω δὲ μακρά, ὑψηλά, ὅπως ἂν μὴ ὑπερπηδᾷ· ἐν δὲ ταῖς ἰχνείαις μὴ ὑπερβάλλεσθαι· ἔστι γὰρ θηρατικὸν μέν, οὐ φιλόπονον δὲ τὸ ἐκ παντὸς τρόπου ἑλεῖν ταχύ. τὰ δὲ δίκτυα τεινέτω ἐν ἀπέδοις, ἐμβαλ- 9
λέτω δὲ τὰ ἐνόδια εἰς τὰς ὁδούς, καὶ ἐκ τῶν τριμμῶν εἰς τὰ συμφέροντα, καθάπτων τοὺς περιδρόμους ἐπὶ τὴν γῆν, τὰ ἀκρωλένια συνάγων, πηγνύων τὰς σχαλίδας μεταξὺ τῶν σαρδόνων, ἐπὶ ἄκρας ἐπιβάλλων τοὺς ἐπιδρόμους καὶ τὰ παράδρομα συμφράττων. φυλαττέτω δὲ ἐκπεριών· ἐὰν δὲ ἐκκλίνῃ τὸν στοῖχον 10
ἡ ἄρκυς, ἀνιστάτω· διωκομένου δὲ τοῦ λαγῶ εἰς τὰς ἄρκυς εἰς τὸ πρόσθεν προϊέσθω, καὶ ἐπιθέων μὲν ἐμβοάτω· ἐμπεπτωκότος δὲ τὴν ὀργὴν τῶν κυνῶν παυέτω, μὴ ἁπτόμενος ἀλλὰ παραμυθούμενος· καὶ δηλούτω τῷ κυνηγέτῃ, ὅτι ἐάλωκεν ἀναβοήσας, ἢ ὅτι
παραδεδράμηκε παρὰ τάδε ἢ τάδε ἢ ὅτι οὐχ ἑώρακεν ἢ οὗ κατεῖδε.

Τὸν δὲ κυνηγέτην ἐξιέναι ἔχοντα ἠμελημένην ἐλα- 11
φρὰν ἐσθῆτα ἐπὶ τὸ κυνηγέσιον καὶ ὑπόδεσιν, ἐν δὲ

---

3 *ποιουμένου* Diels : *ποιουμένους (-ος)* | 4 *ἀντέχεται* Zeune : *ἀντέχηται* | 9 *μὴ* del. Herw. | 11 *ἐν* - 13 *ταχὺ* post *ἀνιστάτω* transp. Diels | 12 *οὗ*, Diels | 17 *σαρδόνων* Poll. V 31, Hesych. s. v. *σαρδονίων (-ιῶν)* libri | 20 *ἢ* Schneid. | 26 *ἢ οὗ κατ.* susp. Diels.

τῇ χειρὶ ῥόπαλον, τὸν δὲ ἀρκυωρὸν ἕπεσθαι· πρὸς δὲ τὸ κυνηγέσιον σιγῇ προσιέναι, ἵνα μὴ ὁ λαγῶς, ἐάν που ᾖ πλησίον, ὑποκινῇ ἀκούων τῆς φωνῆς.
12 δήσαντα δ' ἐκ τῆς ὕλης τὰς κύνας ἑκάστην χωρίς, ὅπως ἂν εὔλυτοι ὦσι, συνιστάναι τὰς ἄρκυς καὶ τὰ δίκτυα, ὡς εἴρηται. μετὰ δὲ τοῦτο τὸν μὲν ἀρκυωρὸν εἶναι ἐν φυλακῇ· αὐτὸν δὲ τὰς κύνας λαβόντα ἰέναι
13 πρὸς τὴν ὑπαγωγὴν τοῦ κυνηγεσίου. καὶ εὐξάμενον τῷ Ἀπόλλωνι καὶ τῇ Ἀρτέμιδι τῇ Ἀγροτέρᾳ μεταδοῦναι τῆς θήρας λῦσαι μίαν κύνα, ἥτις ἂν ᾖ σοφωτάτη ἰχνεύειν, ἐὰν μὲν ᾖ χειμών, ἅμ' ἡλίῳ ἀνίσχοντι· ἐὰν δὲ θέρος, πρὸ ἡμέρας, τὰς δὲ ἄλλας ὥρας
14 μεταξὺ τούτων. ἐπειδὰν δὲ ἡ κύων λάβῃ τὸ ἴχνος ὀρθιον ἐκ τῶν ἐπηλλαγμένων, παραλῦσαι καὶ ἑτέραν· περαινομένου δὲ τοῦ ἴχνους διαλιπόντα μὴ πολὺ
15 καὶ τὰς ἄλλας ἀφιέναι κατὰ μίαν, καὶ ἕπεσθαι μὴ ἐγκείμενον, ὀνομαστὶ ἑκάστην προσαγορεύοντα, μὴ πολλά, ἵνα μὴ παροξύνωνται πρὸ τοῦ καιροῦ. αἱ δ' ὑπὸ χαρᾶς καὶ μένους προΐασιν ἐξίλλουσαι τὰ ἴχνη, ὡς πέφυκε, διπλᾶ, τριπλᾶ, προφορούμεναι παρὰ ταὐτά, διὰ τῶν αὐτῶν, ἐπηλλαγμένα, περιφερῆ, ὀρθια, καμπύλα, πυκνά, μανά, γνώριμα, ἄγνωστα, ἑαυτὰς παραθέουσαι, ταχὺ ταῖς οὐραῖς διασείουσαι, καὶ ἐπικλίνουσαι τὰ ὦτα καὶ ἀστράπτουσαι τοῖς ὄμ-
16 μασιν. ἐπειδὰν δὲ περὶ τὸν λαγῶ ὦσι, δῆλον ποιήσουσι τῷ κυνηγέτῃ σὺν ταῖς οὐραῖς τὰ σώματα ὅλα συνεπικραδαίνουσαι, πολεμικῶς ἐπιφερόμεναι, φιλονίκως παραθέουσαι, συντρέχουσαι φιλοπόνως, συνιστάμεναι ταχύ, διστάμεναι, πάλιν ἐπιφερόμεναι· τελευτῶσαι δ' ἀφίξονται πρὸς τὴν εὐνὴν τοῦ λαγῶ, καὶ
17 ἐπιδραμοῦνται ἐπ' αὐτόν. ὁ δ' ἐξαίφνης ἀνάξας ἐφ'

14 ἐπηλλαγμ. Brodaeus : ἀπηλλαγμ.

αὐτὸν ὑλαγμὸν ποιήσει τῶν κυνῶν καὶ κλαγγὴν φεύγων. ἐμβοάτω δὲ αὐτῷ διωκομένῳ, 'ἰὼ κύνες,' 'σοφῶς γε ὦ κύνες'. καὶ κυνοδρομεῖν περιελίξαντα ὃ ἀμπέχεται περὶ τὴν χεῖρα καὶ τὸ ῥόπαλον ἀναλαβόντα
5 κατὰ τὸν λαγῶ, καὶ μὴ ὑπαντᾶν· ἄπορον γάρ. ὁ δὲ 18
ὑποχωρῶν ταχὺ ἐκλείπων τὴν ὄψιν πάλιν περιβάλλει ὅθεν εὑρίσκεται ἐπὶ τὸ πολύ. ἀναβοᾶν δ' ἐκεῖνον μὲν αὐτῷ, 'παισάτω παῖς, παῖε δή, παῖε δή'. ὁ δέ, ἐάν τε ἑαλωκὼς ᾖ ἐάν τε μή, δηλούτω. καὶ ἐὰν μὲν ἑα- 19
10 λωκὼς ᾖ ἐν τῷ πρώτῳ δρόμῳ, ἀνακαλεσάμενον τὰς κύνας ζητεῖν ἄλλον· ἐὰν δὲ μή, κυνοδρομεῖν ὡς τάχιστα καὶ μὴ ἀφιέναι, ἀλλ' ἐκπερᾶν φιλοπόνως. καὶ ἐὰν πάλιν ἀπαντῶσι διώκουσαι αὐτόν, ἀναβοᾶν, 'εὖ γε, εὖ γε ὦ κύνες,' 'ἔπεσθε ὦ κύνες'· ἐὰν δὲ πολὺ
15 προειληφυῖαι ὦσι καὶ μὴ οἷός τ' ᾖ κυνοδρομῶν ἐπιγίγνεσθαι αὐταῖς, ἀλλὰ διημαρτηκὼς ᾖ τῶν δρόμων, ἢ καὶ πλησίον που φοιτώσας ἢ ἐπιβοώσας ἢ ἔχομένας τῶν ἰχνῶν μὴ δύνηται ἰδεῖν, πυνθάνεσθαι παραθέοντα ἅμα ὅτῳ ἂν προσπελάζῃ ἀναβοῶντα· 'ἦ 20
20 κατεῖδες ὠὴ τὰς κύνας;' ἐπειδὰν δὲ πύθηται ἤδη, ἐὰν μὲν ἐν τῷ ἴχνει ὦσι, προστάντα ἐγκελεύειν, τοὔνομα μεταβάλλοντα ἑκάστης τῆς κυνός, ὁποσαχῇ οἷόν τ' ἂν ᾖ τοὺς τόνους τῆς φωνῆς ποιούμενον, ὀξύ, βαρύ, μικρόν, μέγα· πρὸς δὲ τοῖς ἄλλοις κελεύσμασιν
25 ἐπικελεύειν τόδε, 'εὖ κύνες, εὖ ὦ κύνες.' ἐὰν δὲ μὴ πρὸς αὐτοῖς ὦσι τοῖς ἴχνεσιν, ἀλλ' ὑπερβάλλωσι, καλεῖν αὐτάς, 'οὐ πάλιν, οὐ πάλιν ὦ κύνες;' ἐπειδὰν δὲ 21
προστῶσι τοῖς ἴχνεσι, περιάγειν αὐτὰς κύκλους πολλοὺς καὶ πυκνοὺς ποιούμενον· ὅπου δ' ἂν ᾖ αὐταῖς

2.3 *σοφῶς* Gesner : *σαφῶς* | 10 *ἀνακαλεσάμενον* Schneid.: *-ος* | 23.24 *ὀξύν, βαρύν* etc. Schneid. | 24.25 *πρὸς-κύνες* susp. P. | 25 *εἶα* Gesner | 27 *σοῦ πάλ.* bis Weisk.

ἀμαυρὸν τὸ ἴχνος, σημεῖον θέσθαι στοῖχον ἑαυτῷ, καὶ ἀπὸ τούτου συνείρειν μέχρι ἂν σαφῶς γνωρί-
22 σωσιν ἐγκελεύοντα καὶ θωπεύοντα. αἱ δ' ἐπειδὰν λαμπρὰ ᾖ τὰ ἴχνη, ἐπιρριπτοῦσαι, παραπηδῶσαι, κοινωνοῦσαι, ὑπολαμβάνουσαι, ἐνσημαινόμεναι, ὅρους τιθέμεναι ἑαυταῖς γνωρίμους ταχὺ μεταθεύσονται· ὅταν δὲ οὕτω διὰ τοῦ ἴχνους πυκνῶς διάττωσι, μὴ κατέχοντα κυνοδρομεῖν, ἵνα μὴ ὑπὸ φιλοτιμίας ὑπερ-
23 βάλλωσι τὰ ἴχνη. ἐπειδὰν δὲ περὶ τὸν λαγῶ ὦσι καὶ τοῦτο ἐπιδεικνύωνται σαφῶς τῷ κυνηγέτῃ, προσέχειν, ὅπως ἂν μὴ ὑποκινῇ εἰς τὸ πρόσθεν πεφοβημένος τὰς κύνας, αἱ δὲ διαρριπτοῦσαι ταῖς οὐραῖς καὶ ἑαυταῖς ἐμπίπτουσαι καὶ πολλὰ ὑπερπηδῶσαι καὶ ἐπανακλαγγάνουσαι, ἐπαναίρουσαι τὰς κεφαλάς, εἰσβλέπουσαι εἰς τὸν κυνηγέτην, ἐπιγνωρίζουσαι ἀληθῆ εἶναι ἤδη ταῦτα, ὑφ' αὑτῶν ἀναστήσουσι τὸν λαγῶ
24 καὶ ἐπίασι κεκλαγγυῖαι. ἐὰν δὲ εἰς τὰς ἄρκυς ἐμπίπτῃ ἢ ἐντὸς ἢ ἔξω παρενεχθῇ, καθ' ἓν ἕκαστον τούτων ὁ ἀρκυωρὸς γεγωνείτω, καὶ ἐὰν μὲν ᾖ ἑαλωκώς, ἕτερον ἐπιζητεῖν· ἐὰν δὲ μή, μεταθεῖν χρώμενον τοῖς
25 αὐτοῖς ἐγκελευσμασιν. ἐπειδὰν δὲ μεταθέουσαι κύκλῳ ἤδη ὑπόκοποι ὦσι καὶ ᾖ ὀψὲ ἤδη τῆς ἡμέρας, τότε δεῖ τὸν κυνηγέτην τὸν λαγῶ ἀπειρηκότα ζητεῖν, μὴ παραλείποντα μηδὲν ὧν ἡ γῆ ἀνίησιν ἢ ἔχει ἐφ' ἑαυτῆς, τὰς ἀναστροφὰς ποιούμενον πυκνάς, ὅπως ἂν μὴ παραλειφθῇ, (κατακλίνεται γὰρ ἐν μικρῷ τὸ θηρίον καὶ οὐκ ἀνίσταται ὑπὸ κόπου καὶ φόβου), τὰς κύνας ἐπαγόμενον, ἐγκελεύοντα, παραμυθούμενον τὴν φιλάνθρωπον πολλά, τὴν αὐθάδη ὀλίγα, τὴν μέσην μέτρια, ἕως ἂν ἢ ἀποκτείνῃ αὐτὸν κατὰ πόδας ἢ εἰς
26 τὰς ἄρκυς ἐμβάλῃ. μετὰ δὲ ταῦτα ἀνελόντα τὰς ἄρκυς καὶ τὰ δίκτυα ἀνατρίψαντα τὰς κύνας ἀπιέναι ἐκ τοῦ κυνηγεσίου, ἐπιμείναντα, ἐὰν ᾖ θερινὴ μεσημ-

βρία, ὅπως ἂν τῶν κυνῶν οἱ πόδες μὴ κάωνται ἐν τῇ πορείᾳ.

Σκυλακεύειν δὲ αὐτὰς ἐπανιέντα τῶν πόνων τοῦ VII
χειμῶνος, ἵνα ἔχουσαι τὴν ἡσυχίαν πρὸς τὸ ἔαρ ἐπά-
γωνται τὴν φύσιν γενναίαν· ἡ γὰρ ὥρα πρὸς τὰς
αὐξήσεις τῶν κυνῶν κρατίστη αὕτη· εἰσὶ δὲ τεττα-
ρεσκαίδεκα ἡμέραι, ἐν αἷς ἡ ἀνάγκη αὕτη ἔχει. ἄγειν 2
δὲ καταπαυομένας, ἵνα θᾶττον ἐγκύμονες γίγνωνται,
πρὸς κύνας ἀγαθούς· ἐπειδὰν δ' ὦσιν ἐπίφοροι, μὴ
ἐξάγειν ἐπὶ κυνηγέσιον ἐνδελεχῶς, ἀλλὰ διαλείπειν,
ἵνα μὴ φιλοπονίᾳ διαφθείρωσι. κυοῦσι δ' ἑξήκονθ' 3
ἡμέρας. ἐπειδὰν δὲ γένηται τὰ σκυλάκια, ὑπὸ τῇ
τεκούσῃ ἐᾶν καὶ μὴ ὑποβάλλειν ὑφ' ἑτέραν κύνα·
αἱ γὰρ θεραπεῖαι αἱ ἀλλότριαι οὐκ εἰσὶν αὔξιμοι· τὸ
δὲ τῶν μητέρων καὶ τὸ γάλα ἀγαθὸν καὶ τὸ πνεῦμα
καὶ φίλαι αἱ περιβολαί. ἐπειδὰν δὲ πλανᾶται τὰ σκυ- 4
λάκια ἤδη, διδόναι γάλα μέχρι ἐνιαυτοῦ καὶ οἷς μέλ-
λει τὸν ἅπαντα χρόνον βιώσεσθαι, ἄλλο δὲ μηδέν·
αἱ γὰρ βαρεῖαι πλησμοναὶ τῶν σκυλακίων διαστρέ-
φουσι τὰ σκέλη, τοῖς σώμασι νόσους ἐμποιοῦσαι,
καὶ τὰ ἐντὸς ἄδικα γίγνεται. τὰ δ' ὀνόματα αὐταῖς 5
τίθεσθαι βραχέα, ἵνα εὐανάκλητα ᾖ. εἶναι δὲ χρὴ
τοιάδε, Ψυχή, Θυμός, Πόρπαξ, Στύραξ, Λογχή,
Λόχος, Φρουρά, Φύλαξ, Τάξις, Ξίφων, Φόναξ, Φλέ-
γων, Ἀλκή, Τεύχων, Ὑλεύς, Μήδας, Πόρθων, Σπέρ-
χων, Ὀργή, Βρέμων, Ὕβρις, Θάλλων, Ῥώμη, Ἀν-
θεύς, Ἥβα, Γηθεύς, Χαρά, Λεύσσων, Αὐγώ, Ποδῆς,
Βία, Στίχων, Σπουδή, Βρύας, Οἰνάς, Στερρός, Κραύ-
γη, Καίνων, Τύρβας, Σθένων, Αἰθήρ, Ἀκτίς, Αἰχμή,

7 *ἡμέραι αὐταὶ* Schneid. | 11 *διαφθαρῶσι* Löw. | 14.15 δ' *ἐκ τῶν* Weisk. e Poll. V 50 (at cfr. Arrian. Cyn. XXXI 2) | 15 *καὶ - γάλα* post *ἀγαθὸν* transp. Weisk. | 20 *τοῖς* add. Schneid. | 27 *Ποδῆς* Raderm. : *πολὺς*.

6 *Νόης, Γνώμη, Στίβων, Ὁρμή. ἄγειν δὲ τὰς σκύλα-*
κας ἐπὶ τὸ κυνηγέσιον, τὰς μὲν θηλείας ὀκταμήνους,
τοὺς δὲ ἄρρενας δεκαμήνους· πρὸς δὲ [τὰ ἴχνη] τὰ
εὐναῖα μὴ λύειν, ἀλλ' ἔχοντα ὑφημμένας μακροῖς
ἱμᾶσιν ἀκολουθεῖν ταῖς κυσὶν ἰχνευούσαις, ἑῶντα 5
7 *αὐτὰς διατρέχειν τὰ ἴχνη. καὶ ἐπειδὰν ὁ λαγῶς εὑ-*
ρίσκηται, ἐὰν μὲν καλαὶ ὦσι πρὸς τὸν δρόμον [τὰ
εἴδη], μὴ ἀνιέναι εὐθύς· ἐπειδὰν δὲ προλάβῃ ὁ λαγῶς
τῷ δρόμῳ, ὥστε μὴ ἐφορᾶν ἔτι αὐτόν, τὰς σκύλα-
8 *κας ἰέναι. ἐὰν γὰρ ὁμόθεν καλὰς τὰ εἴδη οὔσας καὶ* 10
εὐψύχους πρὸς τὸν δρόμον ἐπιλύῃ, ὁρῶσαι τὸν λαγῶ
ἐντεινόμεναι ῥήγνυνται, οὕπω ἔχουσαι συνεστῶτα τὰ
σώματα· διαφυλάττειν οὖν δεῖ τοῦτο τὸν κυνηγέτην.
9 *ἐὰν δ' αἰσχίους ὦσι πρὸς τὸν δρόμον, οὐδὲν κωλύει*
ἰέναι· εὐθὺς γὰρ δὴ ἀνέλπιστοι οὖσαι τοῦ ἑλεῖν οὐ 15
πείσονται τοῦτο. τὰ δὲ δρομαῖα ἕως ἂν ἕλωσι [τῷ
ἴχνει], μεταθεῖν ἐᾶν· ἁλισκομένου δὲ τοῦ λαγῶ διδό-
10 *ναι αὐταῖς ἀναρρηγνύναι. ἐπειδὰν δὲ μηκέτι θέλωσι*
προσμένειν ταῖς ἄρκυσιν, ἀλλ' ἀποσκεδαννύωνται,
ἀναλαμβάνειν, ἕως ἂν ἐθισθῶσιν εὑρίσκειν προθέου- 20
σαι τὸν λαγῶ, ἐπεὶ μὴ οὐκ ἐν κόσμῳ ἀεὶ τοῦτον
ζητοῦσαι τελευτῶσαι γίγνωνται ἔκκυνοι, πονηρὸν μά-
11 *θημα. πρὸς δὲ ταῖς ἄρκυσι διδόναι τὰ σιτία αὐταῖς,*
ἕως ἂν νέαι ὦσιν, ὅταν ἀναιρῶνται, ἵν' ἐὰν πλανη-
θῶσιν ἐν τῷ κυνηγεσίῳ δι' ἀπειρίαν, πρὸς τοῦτο 25
ἐπανιοῦσαι σῴζωνται. ἀφεθήσονται δὲ τούτου, ὅταν
ἤδη τῷ θηρίῳ ἔχωσι πολεμίως, ἐπιμέλειαν δὲ ποιή-
12 *σονται τούτου μᾶλλον ἢ ἐκείνου φροντίζειν. χρὴ δὲ*
καὶ εἰς τὰ πολλὰ δεομέναις διδόναι τἀπιτήδεια ταῖς

---

3 *τὰ ἴχνη* del. P. | 16 *ἐθέλωσι* Weisk. | 16.17 *τῷ ἴχνει* del. Dind. | 21 *οὐκ* add. Diels | 22.23 *πάθημα* C. | 27 *δὲ*] *γὰρ* Ricards.

κυσὶν αὐτόν· ὅταν μὲν γὰρ μὴ ἐνδεεῖς ὦσι, τούτου τὸν αἴτιον οὐκ ἴσασιν, ὅταν δ' ἐπιθυμοῦσαι λάβωσι, τὸν διδόντα στέργουσιν.

Ἰχνεύεσθαι δὲ τὸν λαγῶ ὅταν νίφῃ ὁ θεὸς ὥστε VIII ἠφανίσθαι τὴν γῆν· εἰ δ' ἐνέσται μελάγχιμα, δυσζήτητος ἔσται. ἔστι δέ, ὅταν μὲν ἐπινίφῃ καὶ ᾖ βόρειον, τὰ ἴχνη ἔξω πολὺν χρόνον δῆλα· οὐ γὰρ ταχὺ συντήκεται· ἐὰν δὲ νότιόν τε ᾖ καὶ ἥλιος ἐπιλάμπῃ, ὀλίγον χρόνον· ταχὺ γὰρ διαχεῖται· ὅταν δ' ἐπινίφῃ συνεχῶς, οὐδὲν δεῖ· ἐπικαλύπτει γάρ· οὐδ' ἐὰν πνεῦμα ᾖ μέγα· συμφοροῦν γὰρ τὴν χιόνα ἀφανίζει. κύνας μὲν οὖν 2 οὐδὲν δεῖ ἔχοντα ἐξιέναι ἐπὶ τὴν θήραν ταύτην· ἡ γὰρ χιὼν κάει τῶν κυνῶν [τὰς ῥῖνας] τοὺς πόδας, τὴν δ' ὀσμὴν τοῦ λαγῶ ἀφανίζει διὰ τὸ ὑπερπαγές· λαβόντα δὲ τὸν διώκοντα τὰ δίκτυα μετ' ἄλλου ἐλθόντα πρὸς τὰ ὄρη παριέναι ἀπὸ τῶν ἔργων, καὶ ἐπειδὰν λάβῃ τὰ ἴχνη, πορεύεσθαι κατὰ ταῦτα. ἐὰν 3 δ' ἐπηλλαγμένα ᾖ, ἐκ τῶν αὐτῶν πάλιν εἰς τὸ αὐτὸ ἥκοντα κύκλους ποιούμενον ἐκπεριιέναι τὰ τοιαῦτα, ζητοῦντα ὅποι ἔξεισι. πολλὰ δὲ πλανᾶται ὁ λαγῶς ἀπορούμενος ὅπου κατακλιθῇ, ἅμα δὲ καὶ εἴθισται τεχνάζειν τῇ βαδίσει διὰ τὸ διώκεσθαι ἀεί. ἀπὸ δὲ 4 τῶν τοιούτων ἐπειδὰν φανῇ τὸ ἴχνος, προϊέναι εἰς τὸ πρόσθεν. ἄξει δὲ ἢ πρὸς σύσκιον τόπον ἢ πρὸς ἀπόκρημνον· τὰ γὰρ πνεύματα ὑπερφορεῖ τὴν χιόνα ὑπὲρ τῶν τοιούτων. παραλείπεται οὖν εὐνάσιμα πολλά· ζητεῖν δὲ τοῦτο. ἐπειδὰν δὲ τὰ ἴχνη πρὸς τὰ 5 τοιαῦτα φέρῃ, μὴ προσιέναι ἐγγύς, ἵνα μὴ ὑποκινῇ, ἀλλὰ κύκλῳ ἐκπεριιέναι· ἐλπὶς γὰρ αὐτοῦ εἶναι. δῆ-

1 μὴ add. Gesner | 6 ἐπινέφῃ v. Leeuven | 12 ἔχοντα Schneid.: ἔχοντας | 13 τὰς ῥῖνας del. P. | 14 δ' add. Weisk. | 20 ὅποι Steph. : ὁποῖα | 25 ὑπερφέρει Dind.

λον δ' ἔσται· τὰ γὰρ ἴχνη ἀπὸ τῶν τοιούτων οὐδα-
6 μοῦ περάσει. ἐπειδὰν δὲ ᾖ σαφὲς ὅτι αὐτοῦ ἐστιν,
ἐᾶν· μενεῖ γάρ· ἕτερον δὲ ζητεῖν πρὶν τὰ ἴχνη ἄδηλα
γενέσθαι, τῆς ὥρας ἐνθυμούμενον, ὅπως ἂν καὶ ἑτέ-
ρους εὑρίσκῃ, ἔσται ἡ λειπομένη ἱκανὴ περιστήσασθαι.
7 ἥκοντος δὲ τούτου περιτείνειν αὐτῶν ἑκάστῳ τὰ δί-
κτυα τὸν αὐτὸν τρόπον ὅνπερ ἐν τοῖς μελαγχίμοις,
περιλαμβάνοντα ἐντὸς πρὸς ὅτῳ ἂν ᾖ, καὶ ἐπειδὰν
8 ἑστηκότα ᾖ, προσελθόντα κινεῖν. ἐὰν δὲ ἐκκυλισθῇ ἐκ
τῶν δικτύων, μεταθεῖν κατὰ τὰ ἴχνη· ὁ δὲ ἀφίξεται
πρὸς ἕτερα τοιαῦτα χωρία, ἐὰν μὴ ἄρα ἐν αὐτῇ τῇ
χιόνι πιέσῃ ἑαυτόν. σκεψάμενον οὖν δεῖ ὅπου ἂν ᾖ
περιίστασθαι. ἐὰν δὲ μὴ ὑπομένῃ, μεταθεῖν· ἁλώσεται
γὰρ καὶ ἄνευ τῶν δικτύων· ταχὺ γὰρ ἀπαγορεύει διὰ
τὸ βάθος τῆς χιόνος καὶ διὰ τὸ κάτωθεν τῶν πο-
δῶν λασίων ὄντων προσέχεσθαι αὐτῷ ὄγκον πολύν.

IX Ἐπὶ δὲ τοὺς νεβροὺς καὶ τὰς ἐλάφους κύνας εἶναι
Ἰνδικάς· εἰσὶ γὰρ ἰσχυραί, μεγάλαι, ποδώκεις, οὐκ
ἄψυχοι· ἔχουσαι δὲ ταῦτα ἱκαναὶ γίγνονται πονεῖν.
τοὺς μέν οὖν νεογνοὺς τῶν νεβρῶν τοῦ ἦρος θηρᾶν·
2 ταύτην γὰρ τὴν ὥραν γίγνονται. κατασκέψασθαι δὲ
πρότερον προελθόντα εἰς τὰς ὀργάδας, οὗ εἰσιν ἔλα-
φοι πλεῖσται· ὅπου δ' ἂν ὦσιν, ἔχοντα τὸν κυναγω-
γὸν τὰς κύνας καὶ ἀκόντια πρὸ ἡμέρας ἐλθόντα εἰς
τὸν τόπον τοῦτον τὰς μὲν κύνας δῆσαι ἄπωθεν ἐκ τῆς
ὕλης, ὅπως μή, ἂν ἴδωσι τὰς ἐλάφους ὑλακτῶσιν, αὐτὸν
3 δὲ σκοπιωρεῖσθαι. ἅμα δὲ τῇ ἡμέρᾳ ὄψεται ἀγούσας
τοὺς νεβροὺς πρὸς τὸν τόπον οὗ ἂν μέλλῃ ἑκάστη
τὸν ἑαυτῆς εὐνάσειν. κατακλίνασαι δὲ καὶ γάλα δοῦσαι
καὶ διασκεψάμεναι μὴ ὁρῶνταί ὑπό τινος, φυλάττει
4 τὸν ἑαυτῆς ἑκάστη ἀπελθοῦσα εἰς τὸ ἀντιπέραν. ἰδόντα

1.2 οὐδαμοῖ Dind.

δὲ ταῦτα τὰς μὲν κύνας λῦσαι, τὸν δὲ λαβόντα τἀκόντια προσιέναι ἐπὶ τὸν νεβρὸν τὸν πρῶτον, ὅπου εἶδεν εὐνασθέντα, τῶν τόπων ἐνθυμούμενον, ὅπως μὴ διαμαρτήσεται· πολὺ γὰρ ἀλλοιοῦνται τῇ ὄψει ἐγγὺς προσιόντι ἢ οἷοι πόρρωθεν ἔδοξαν εἶναι. ἐπειδὰν δὲ ἴδῃ αὐτόν, προσιέναι ἐγγύς. ὁ δ' ἕξει ἀτρέμα πιέσας ὡς ἐπὶ γῆν καὶ ἐάσει ἀνελέσθαι, ἐὰν μὴ ἐφυσμένος ᾖ, βοῶν μέγα. τούτου δὲ γενομένου οὐ μενεῖ· ταχὺ γὰρ τὸ ὑγρόν, ὃ ἔχει ἐν ἑαυτῷ, ὑπὸ τοῦ ψυχροῦ συνιστάμενον ποιεῖ ἀποχωρεῖν αὐτόν. ἁλώσεται δὲ ὑπὸ τῶν κυνῶν σὺν πόνῳ διωκόμενος· λαβόντα δὲ δοῦναι τῷ ἀρκυωρῷ· ὁ δὲ βοήσεται· ἡ δ' ἔλαφος τὰ μὲν ἰδοῦσα, τὰ δ' ἀκούσασα, ἐπιδραμεῖται τῷ ἔχοντι αὐτὸν ζητοῦσα ἀφελέσθαι. ἐν δὲ τούτῳ τῷ καιρῷ ἐγκελεύειν ταῖς κυσὶ καὶ χρῆσθαι τοῖς ἀκοντίοις. κρατήσαντα δὲ τούτου πορεύεσθαι καὶ ἐπὶ τοὺς ἄλλους καὶ τῷ αὐτῷ εἴδει πρὸς αὐτοὺς χρῆσθαι τῆς θήρας. καὶ οἱ μὲν νέοι τῶν νεβρῶν οὕτως ἁλίσκονται· οἱ δὲ ἤδη μεγάλοι χαλεπῶς· νέμονται γὰρ μετὰ τῶν μητέρων καὶ ἑτέρων ἐλάφων· καὶ ἀποχωροῦσιν, ὅταν διώκωνται, ἐν μέσαις, ὁτὲ δὲ πρόσθεν, ἐν δὲ τῷ ὄπισθεν ὀλιγάκις. αἱ δ' ἔλαφοι τὰς κύνας ὑπὲρ αὐτῶν ἀμυνόμεναι καταπατοῦσιν, ὥστ' οὐκ εὐάλωτοί εἰσιν, ἐὰν μὴ προσμείξας τις εὐθὺς διασκεδάσῃ αὐτὰς ἀπ' ἀλλήλων, ὥστε μονωθῆναί τινα αὐτῶν. βιασθεῖσαι δὲ τοῦτο, τὸν μὲν πρῶτον δρόμον αἱ κύνες ἀπολείπονται· ἥ τε γὰρ ἀπουσία τῶν ἐλάφων ποιεῖ αὐτὸν περίφοβον, τό τε τάχος οὐδενὶ ἐοικός ἐστι τῶν τηλικούτων νεβρῶν· δευτέρῳ δὲ καὶ τρίτῳ δρόμῳ ταχὺ

---

5 οἷοι Castalio: οἳ | 6.7 [πιέσας] Saupp. πτήξας Richards | 7 ὡς] ἑαυτὸν Schneid. | 7.8 ἐψυγμένος Brodaeus | 21 ὁτὲ μὲν add. ante ἐν μέσοις Steph. | 28 τὸ add. ante τῶν Raderm.

ἁλίσκονται· τὰ γὰρ σώματα αὐτῶν διὰ τὸ ἔτι νεαρὰ
11 εἶναι τῷ πόνῳ οὐ δύνανται ἀντέχειν. ἵστανται δὲ καὶ
ποδοστράβαι ταῖς ἐλάφοις ἐν τοῖς ὄρεσι, περὶ τοὺς λει-
μῶνας καὶ τὰ ῥεῖθρα καὶ τὰς νάπας ἐν ταῖς διόδοις
12 καὶ τοῖς ἔργοις πρὸς ὅ, τι ἂν προσίῃ· χρὴ δὲ εἶναι
τὰς ποδοστράβας σμίλακος πεπλεγμένας, μὴ περι-
φλοίους, ἵνα μὴ σήπωνται, τὰς δὲ στεφάνας εὐκύκλους
ἐχούσας, καὶ τοὺς ἥλους ἐναλλὰξ σιδηροῦς τε καὶ
ξυλίνους ἐγκαταπεπλεγμένους ἐν τῷ πλοκάνῳ· μεί-
ζους δὲ τοὺς σιδηροῦς, ὅπως ἂν οἱ μὲν ξύλινοι
13 ὑπείκωσι τῷ ποδί, οἱ δὲ πιέζωσι. τὸν δὲ βρόχον τῆς
σειρίδος τὸν ἐπὶ τὴν στεφάνην ἐπιτεθησόμενον πε-
πλεγμένον σπάρτου καὶ αὐτὴν τὴν σειρίδα· ἔστι γὰρ
ἀσηπτότατον τοῦτο. ὁ δὲ βρόχος αὐτὸς ἔστω στιφρὸς
καὶ ἡ σειρίς· τὸ δὲ ξύλον τὸ ἐξαπτόμενον ἔστω μὲν
δρυὸς ἢ πρίνου, μέγεθος τρισπίθαμον, περίφλοιον,
14 πάχος παλαιστῆς. ἱστάναι δὲ τὰς ποδοστράβας διελόν-
τα τῆς γῆς βάθος πεντεπάλαιστον, περιφερὲς δὲ τοῦτο,
καὶ ἄνωθεν ἴσον ταῖς στεφάναις τῶν ποδοστραβῶν,
εἰς δὲ τὸ κάτω ἀμειβόμενον στενότητι· διελεῖν δὲ
καὶ τῇ σειρίδι καὶ τῷ ξύλῳ τῆς γῆς ὅσον ἵζεσθαι
15 ἀμφοῖν. ποιήσαντα δὲ ταῦτα ἐπὶ μὲν τὸ βάθος τὴν
ποδοστράβην ἐπιθεῖναι κατωτέρω ἰσόπεδον, περὶ δὲ
τὴν στεφάνην τὸν βρόχον τῆς σειρίδος, καὶ αὐτὴν
καὶ τὸ ξύλον καθέντα εἰς τὴν χώραν τὴν ἑκατέρου,
τῇ στεφάνῃ ἐπιθεῖναι δοκίδας ἀτρακτυλίδος μὴ ὑπερ-
τεινούσας εἰς τὸ ἔξω, ἐπὶ δὲ τούτων πέταλα λεπτά,
16 ὧν ἂν ἡ ὥρα ᾖ. μετὰ δὲ τοῦτο τῆς γῆς ἐπιβαλεῖν
ἐπ' αὐτὰ πρῶτον μὲν τὴν ἐπιπολῆς ἐξαιρεθεῖσαν ἐκ
τῶν ὀρυγμάτων, ἄνωθεν δὲ ταύτης γῆς στερεᾶς τῆς

9 πλοκάνῳ Poll. V 34 πλοκάμῳ libri | 14 αὐτὸς Steph.: αὐτοῦ | 22.23 τὴν ποδ. Löw.: τῆς ποδοστράβης | 27 [λεπτὰ] Dind.

ἄπωθεν, ἵνα ᾖ τῇ ἐλάφῳ ὅτι μάλιστα ἄδηλος ἡ στάσις· τὴν δὲ περιοῦσαν τῆς γῆς ἀποφέρειν πόρρω ἀπὸ τῆς ποδοστράβης· ἐὰν γὰρ ὀσφραίνηται νεωστὶ κεκινημένης, δυσωπεῖται· ταχὺ δὲ ποιεῖ τοῦτο. ἐπι- 17
σκοπεῖν δὲ ἔχοντα τὰς κύνας τὰς μὲν ἐν τοῖς ὄρεσιν ἑστώσας, μάλιστα μὲν ἕωθεν, χρὴ δὲ καὶ τῆς ἄλλης ἡμέρας, ἐν δὲ τοῖς ἔργοις πρῴ. ἐν μὲν γὰρ τοῖς ὄρεσιν οὐ μόνον τῆς νυκτὸς ἁλίσκονται ἀλλὰ καὶ μεθ' ἡμέραν διὰ τὴν ἐρημίαν· ἐν δὲ τοῖς ἔργοις τῆς νυκτὸς διὰ τὸ μεθ' ἡμέραν πεφοβῆσθαι τοὺς ἀνθρώπους. ἐπειδὰν δὲ εὕρῃ ἀνεστραμμένην τὴν ποδοστρά- 18
βην, μεταθεῖν ἐπιλύσαντα τὰς κύνας καὶ ἐπικελεύσαντα κατὰ τὸν ὁλκὸν τοῦ ξύλου, σκοπούμενον ὅπου ἂν φέρηται. ἔσται δὲ οὐκ ἄδηλον ἐπὶ τὸ πολύ· οἵ τε γὰρ λίθοι ἔσονται κεκινημένοι τά τ' ἀποσύρματα τοῦ ξύλου καταφανῆ ἐν τοῖς ἔργοις· ἐὰν δὲ τραχεῖς τόπους διαπερᾷ, αἱ πέτραι ἕξουσι τὸν φλοιὸν τοῦ ξύλου ἀφηρπασμένον καὶ κατὰ τοῦτο ῥάους αἱ μεταδρομαὶ ἔσονται. ἐὰν μὲν οὖν τοῦ προσθίου ποδὸς ἁλῷ, ταχὺ 19
ληφθήσεται· ἐν γὰρ τῷ δρόμῳ πᾶν τὸ σῶμα τύπτει καὶ τὸ πρόσωπον· ἐὰν δὲ τοῦ ὄπισθεν, ἐφελκόμενον τὸ ξύλον ἐμποδὼν ὅλῳ ἐστὶ τῷ σώματι, ἐνίοτε δὲ καὶ εἰς δικρόας τῆς ὕλης ἐμπίπτει φερόμενον, καὶ ἐὰν μὴ ἀπορρήξῃ τὴν σειρίδα, καταλαμβάνεται αὐτοῦ. χρὴ δέ, ἐὰν οὕτως ἕλῃ ἢ περιγενόμενος πόνῳ, 20
ἐὰν μὲν ᾖ ἄρρην, μὴ προσιέναι ἐγγύς· τοῖς γὰρ κέρασι παίει καὶ τοῖν ποδοῖν· ἐὰν δὲ θήλεια, τοῖν ποδοῖν· ἄπωθεν οὖν ἀκοντίζειν. ἁλίσκονται δὲ καὶ ἄνευ ποδοστράβης διωκόμεναι, ὅταν ᾖ ἡ ὥρα θερινή· ἀπαγορεύουσι γὰρ σφόδρα, ὥστε ἑστῶσαι ἀκοντίζον-

13 *ὅποι* Dind. | 15 *ἀποσύρμ.* Poll. V 34, *ἐπισύρμ.* libri | 26 *ἐὰν μὲν ᾖ ἄρρην* post *παίει* transp. Diels.

ται· ῥιπτοῦσι δὲ καὶ εἰς τὴν θάλατταν, ἐὰν κατέχωνται, καὶ εἰς τὰ ὕδατα ἀπορούμεναι· ὁτὲ δὲ διὰ δύσπνοιαν πίπτουσι.

X Πρὸς δὲ τὸν ὗν τὸν ἄγριον κεκτῆσθαι κύνας Ἰνδικάς, Κρητικάς, Λοκρίδας, Λακαίνας, ἄρκυς, ἀκόντια, προβόλια, ποδοστράβας. πρῶτον μὲν οὖν χρὴ εἶναι τὰς κύνας ἑκάστου τοῦ γένους μὴ τὰς ἐπιτυχούσας, ἵνα ἕτοιμαι ὦσι πολεμεῖν τῷ θηρίῳ. αἱ δὲ ἄρκυς λίνων μὲν τῶν αὐτῶν ὥνπερ αἱ τῶν λαγῶν, πεντεκαιτετταρακοντάλινοι ἐκ τριῶν τόνων, ἕκαστος δὲ τόνος ἐκ πεντεκαίδεκα λίνων, ἀπὸ δὲ τοῦ κορυφαίου τὸ μέγεθος δεχάμματοι, τὸ δὲ βάθος τῶν βρόχων πυγόνος· οἱ δὲ περίδρομοι ἡμιόλιοι τοῦ τῶν ἀρκύων πάχους· ἐπ' ἄκροις δὲ δακτυλίους ἐχέτωσαν, ὑφείσθωσαν δ' ὑπὸ τοὺς βρόχους, τὸ δὲ ἄκρον αὐτῶν ἐκπεράτω ἔξω διὰ τῶν δακτυλίων· ἱκανοὶ δὲ πεντεκαίδεκα. τὰ δ' ἀκόντια ἔστω παντοδαπά, ἔχοντα τὰς λόγχας εὐπλατεῖς καὶ ξυρήκεις, ῥάβδους δὲ στιφράς. τὰ δὲ προβόλια πρῶτον μὲν λόγχας ἔχοντα τὸ μὲν μέγεθος πεντεπαλαίστους, κατὰ δὲ μέσον τὸν αὐλὸν κνώδοντας ἀποκεχαλκευμένους, στιφρούς, καὶ τὰς ῥάβδους κρανείας δορατοπαχεῖς. αἱ δὲ ποδοστράβαι ὅμοιαι ταῖς τῶν ἐλάφων. συγκυνηγέται δ' ἔστωσαν· τὸ γὰρ θηρίον μόλις καὶ ὑπὸ πολλῶν ἁλίσκεται. ὅπως δὲ δεῖ τούτων ἑκάστῳ πρὸς θήραν χρῆσθαι διδάξω. πρῶτον μὲν οὖν ἐλθόντας ὅπου ἂν οἴωνται [εἶναι] ὑπάγειν τὸ κυνηγέσιον, λύσαντας μίαν τῶν κυνῶν τῶν Λακαινῶν, τὰς δ' ἄλλας ἔχοντας δεδεμένας, συμπεριιέναι τῇ κυνί. ἐπειδὰν δὲ λάβῃ αὐτοῦ τὰ ἴχνη,

---

7 ἑκάστου του (s. τοῦ) P. ἐκ τούτων τοῦ Diels : ἐκ τούτου τοῦ | 18 ξυρήκεις Poll. V 20 ξυηρὰς. ξυκρὰς s. aliter libri | 27 εἶναι del. P. | ὑπάγον Bichards.

ἕπεσθαι ἑξῆς τῇ ἰχνευούσῃ ἡγουμένῃ τοὺς ἀκολουθοῦντας σοφῶς. ἔσται δὲ καὶ τοῖς κυνηγέταις πολλὰ δῆλα αὐτοῦ, ἐν μὲν τοῖς μαλακοῖς τῶν χωρίων τὰ ἴχνη, ἐν δὲ τοῖς λασίοις τῆς ὕλης κλάσματα· ὅπου δ' ἂν δένδρα ᾖ, πληγαὶ τῶν ὀδόντων. ἡ δὲ κύων ἐπὶ τὸ πολὺ ἀφίξεται τόπον ὑλώδη ἰχνεύουσα. κατακλίνεται γὰρ τὸ θηρίον ὡς ἐπὶ τὸ πολὺ εἰς τοιαῦτα· τοῦ μὲν γὰρ χειμῶνός ἐστιν ἀλεεινά, τοῦ δὲ θέρους ψυχεινό. ἐπειδὰν δ' ἀφίκηται ἐπὶ τὴν εὐνήν, ὑλακτεῖ· ὃ δ' οὐκ ἀνίσταται ὡς τὰ πολλά. λαβόντα οὖν τὴν κύνα καὶ ταύτην μετὰ τῶν ἄλλων δῆσαι ἄπωθεν ἀπὸ τῆς εὐνῆς πολὺ καὶ εἰς τοὺς ὅρμους ἐμβάλλεσθαι τὰς ἄρκυς, ἐπιβάλλοντα τοὺς βρόχους ἐπὶ ἀποσχαλιδώματα τῆς ὕλης μικρά· τῆς δὲ ἄρκυος αὐτῆς μακρὸν προήκοντα κόλπον ποιεῖν, ἀντηρίδας ἔνδοθεν ἑκατέρωθεν ὑφιστάντα κλῶνας, ὅπως ἂν εἰς τὸν κόλπον διὰ τῶν βρόχων αἱ αὐγαὶ τοῦ φέγγους ὡς μάλιστα ἐνέχωσιν, ἵνα προσθέοντι ὡς φανότατον ᾖ τὸ ἔσω· καὶ τὸν περίδρομον ἐξάπτειν ἀπὸ δένδρου ἰσχυροῦ, καὶ μὴ ἐκ ῥάχου· συνέχονται γὰρ ἐν τοῖς ψιλοῖς αἱ ῥᾶχοι. ὑπὲρ δὲ ἑκάστης ἐμφράττειν τῇ ὕλῃ καὶ τὰ δύσορμα, ἵνα εἰς τὰς ἄρκυς ποιῆται τὸν δρόμον καὶ μὴ ἐξαλλάττῃ. ἐπειδὰν δὲ στῶσιν, ἐλθόντας πρὸς τὰς κύνας λῦσαι ἁπάσας καὶ λαβόντας τἀκόντια καὶ τὰ προβόλια προσιέναι. ἐγκελεύειν δὲ ταῖς κυσὶν ἕνα τὸν ἐμπειρότατον, τοὺς δ' ἄλλους ἕπεσθαι κοσμίως ἀπολείποντας ἀπ' ἀλλήλων πολύ, ὅπως ἂν ᾖ αὐτῷ ἱκανὴ διαδρομή· ἐὰν γὰρ ἀποχωρῶν ἐμπέσῃ εἰς πυκνούς, κίνδυνος πληγῆναι· ᾧ γὰρ ἂν προσπέσῃ, εἰς τοῦτον

1 ἰχνευούσῃ Christian : ἰχνεύσει | τοὺς add. P. | 2 σοφῶς P. : σαφῶς | 10 λαβόντα Zeune : λαβόντας | 14 δικρᾶ libri praet. AB | 20 συνέλκονται γὰρ Schneid. συνάγονται δὲ P. | 23 ἐξαλλάττῃ Diels : ἐξαλλάττων | δ' ἑστῶσι Raderm.

9 τὴν ὀργὴν κατέθετο. ἐπειδὰν δὲ αἱ κύνες ἐγγὺς ὦσι τῆς εὐνῆς, ἐπεισίασι· θορυβούμενος δ' ἐξαναστήσεται, καὶ ἥτις ἂν τῶν κυνῶν προσφέρηται αὐτῷ πρὸς τὸ πρόσωπον, ἀναρρίψει· θέων δ' ἐμπεσεῖται· ἐὰν δὲ μή, μεταθεῖν ἀνάγκη. καὶ ἐὰν μὲν ᾖ τὸ χωρίον κατωφερές, ἐν ᾧ ἂν ἔχῃ αὐτὸν ἡ ἄρκυς, ταχὺ ἐξαναστήσεται· ἐὰν δὲ ἄπεδον, εὐθὺς ἑστήξεται περὶ αὐτὸν 10 ἔχων. ἐν τούτῳ δὲ τῷ καιρῷ αἱ μὲν κύνες προσκείσονται· αὐτοὺς δὲ χρὴ φυλαττομένους αὐτὸν ἀκοντίζειν, καὶ βάλλειν λίθοις, περισταμένους ὄπισθεν καὶ πολὺ ἄπωθεν, ἕως ἂν κατατείνῃ προωθῶν αὐτὸν τῆς ἄρκυος τὸν περίδρομον. εἶτα ὅστις ἂν ᾖ τῶν παρόντων ἐμπειρότατος καὶ ἐγκρατέστατος προσελθόντα 11 ἐκ τοῦ πρόσθεν τῷ προβολίῳ παίειν. ἐὰν δὲ μὴ βούληται ἀκοντιζόμενος καὶ βαλλόμενος κατατεῖναι τὸν περίδρομον, ἀλλ' ἐπανιὼν ἔχῃ πρὸς τὸν προσιόντα περιδρομὴν ποιούμενος, ἀνάγκη, ὅταν οὕτως ἔχῃ, λαβόντα τὸ προβόλιον προσιέναι, ἔχεσθαι δ' αὐτοῦ τῇ μὲν χειρὶ τῇ ἀριστερᾷ πρόσθεν, τῇ δ' ἑτέρᾳ ὄπισθεν· κατορθοῖ γὰρ ἡ μὲν ἀριστερὰ αὐτό, ἡ δὲ δεξιὰ ἐπεμβάλλει· ἔμπροσθεν δὲ ὁ ποὺς ὁ μὲν ἀριστερὸς ἐπέσθω τῇ χειρὶ τῇ ὁμωνύμῳ· ὁ δὲ δεξιὸς 12 τῇ ἑτέρᾳ. προσιόντα δὲ προβάλλεσθαι τὸ προβόλιον, μὴ πολλῷ μείζω διαβάντα ἢ ἐν πάλῃ, ἐπιστρέφοντα τὰς πλευρὰς τὰς εὐωνύμους ἐπὶ τὴν χεῖρα τὴν εὐώνυμον· εἶτα εἰσβλέποντα εἰς τὸ ὄμμα τοῦ θηρίου ἐνθυμούμενον τὴν κίνησιν τὴν ἀπὸ τῆς κεφαλῆς τῆς ἐκείνου. προσφέρειν δὲ τὸ προβόλιον φυλαττόμενον μὴ ἐκκρούσῃ ἐκ τῶν χειρῶν τῇ κεφαλῇ ἐκνεύσας· 13 τῇ γὰρ ῥύμῃ τῆς ἐκκρούσεως ἕπεται. παθόντα δὲ

7 ἑστήξει C. | 9 αὐτὸν Steph. : αὐτῷ | 20 αὐτὸ Schneid. : αὐτοῦ | 30 τῇ - ῥύμῃ Löw. : ἡ - ῥύμη.

τοῦτο πίπτειν δεῖ ἐπὶ στόμα καὶ ἔχεσθαι τῆς ὕλης κάτωθεν· τὸ γὰρ θηρίον ἐὰν μὲν οὕτως ἔχοντι προσπέσῃ, διὰ τὴν σιμότητα τῶν ὀδόντων τὸ σῶμα οὐ δύναται ὑπολαβεῖν· ἐὰν δὲ μετεώρῳ, ἀνάγκη πλη-
5 γῆναι. πειρᾶται μὲν οὖν μετεωρίζειν· ἐὰν δὲ μὴ δύνηται, ἀμφιβὰς πατεῖ. ἀπαλλαγὴ δὲ τούτων μία ἐστὶ 14
μόνη, ὅταν ἐν τῇ ἀνάγκῃ ταύτῃ ἔχηται, προσελθόντα ἐγγὺς τῶν συγκυνηγετῶν ἕνα ἔχοντα προβόλιον ἐρεθίζειν ὡς ἀφήσοντα· ἀφιέναι δὲ οὐ χρή, μὴ τύχῃ
10 τοῦ πεπτωκότος. ὅταν δὲ ἴδῃ τοῦτο, καταλιπὼν ὃν 15
ἄν ἔχῃ ὑφ' αὑτῷ ἐπὶ τὸν ἐρεθίζοντα ὑπ' ὀργῆς καὶ θυμοῦ ἐπιστρέψει. τὸν δὲ ταχὺ ἀναπηδᾶν, τὸ δὲ προβόλιον μεμνῆσθαι ἔχοντα ἀνίστασθαι· οὐ γὰρ καλὴ ἡ σωτηρία ἄλλως ἢ κρατήσαντι. προσφέρειν 16
15 δὲ πάλιν τὸν αὐτὸν τρόπον καὶ προτεῖναι ἐντὸς τῆς ὠμοπλάτης ᾗ ἡ σφαγή, καὶ ἀντερείσαντα ἔχειν ἐρρωμένως· ὁ δ' ὑπὸ μένους πρόσεισι, καὶ εἰ μὴ κωλύοιεν οἱ κνώδοντες τῆς λόγχης, ἀφίκοιτ' ἂν διὰ τῆς ῥάβδου προωθῶν αὐτὸν πρὸς τὸν τὸ προβόλιον
20 ἔχοντα. οὕτω δὲ πολλὴ ἡ δύναμίς ἐστιν αὐτοῦ ὥστε 17
καὶ ἃ οὐκ ἂν οἴοιτό τις πρόσεστιν αὐτῷ· τεθνεῶτος γὰρ εὐθὺς ἐάν τις ἐπὶ τὸν ὀδόντα ἐπιθῇ τρίχας, συντρέχουσιν· οὕτως εἰσὶ θερμοί· ζῶντι δὲ διάπυροι, ὅταν ἐρεθίζηται· οὐ γὰρ ἂν τῶν κυνῶν ἁμαρτάνων
25 τῇ πληγῇ τοῦ σώματος ἄκρα τὰ τριχώματα περιεπίμπρα. ὁ μὲν οὖν ἄρρην τοσαῦτα καὶ ἔτι πλείω 18
πράγματα παρασχὼν ἁλίσκεται.

Ἐὰν δὲ θήλεια ᾖ ἡ ἐμπεσοῦσα, ἐπιθέοντα παίειν φυλαττόμενον μὴ ὠσθεὶς πέσῃ· παθόντα δὲ τοῦτο
30 πατεῖσθαι ἀνάγκη καὶ δάκνεσθαι. ἑκόντα οὖν οὐ χρὴ ὑποπίπτειν· ἐὰν δ' ἄκων ἔλθῃ εἰς τοῦτο, διαναστά-

11 ὑφ' αὑτῷ Dind. : ὑπ' αὐτῷ | 25.26 περιεπίμπρη C.

σεις γίγνονται αἱ αὐταὶ ὥσπερ ὑπὸ τοῦ ἄρρενος· ἐξαναστάντα δὲ δεῖ παίειν τῷ προβολίῳ, ἕως ἂν ἀποκτείνῃ.
19 Ἁλίσκονται δὲ καὶ ὧδε. ἵστανται μὲν αὐτοῖς αἱ ἄρκυς ἐπὶ τὰς διαβάσεις τῶν ναπῶν εἰς τοὺς δρυμούς, τὰ ἄγκη, τὰ τραχέα, εἰσβολὰς δὲ εἰς τὰς ὀργάδας καὶ τὰ ἕλη καὶ τὰ ὕδατα. ὁ δὲ τεταγμένος ἔχων τὸ προβόλιον φυλάττει τὰς ἄρκυς. οἱ δὲ τὰς κύνας ἐπάγουσι, τοὺς τόπους ζητοῦντες τοὺς καλλί-
20 στους· ἐπειδὰν δὲ εὑρεθῇ, διώκεται. ἐὰν μὲν οὖν εἰς τὴν ἄρκυν ἐμπίπτῃ, τὸν ἀρκυωρὸν ἀναλαβόντα τὸ προβόλιον προσιέναι καὶ χρῆσθαι, ὡς εἴρηκα. ἐὰν δὲ μὴ ἐμπέσῃ, μεταθεῖν. ἁλίσκεται δὲ καὶ ὅταν ᾖ πνίγη, διωκόμενος ὑπὸ τῶν κυνῶν· τὸ γὰρ θηρίον καίπερ ὑπερβάλλον δυνάμει ἀπαγορεύει ὑπέρασθμον γιγνό-
21 μενον. ἀποθνήσκουσι δὲ κύνες πολλαὶ ἐν τῇ τοιαύτῃ θήρᾳ καὶ αὐτοὶ οἱ κυνηγέται κινδυνεύουσι, ὅταν γ' ἐν ταῖς μεταδρομαῖς ἀπειρηκότι ἀναγκάζωνται προσιέναι ἔχοντες τὰ προβόλια ἢ ἐν ὕδατι ὄντι ἢ ἐφεστῶτι πρὸς ἀποκρήμνῳ ἢ ἐκ δασέος μὴ θέλοντι ἐξιέναι· οὐ γὰρ κωλύει αὐτὸν οὔτε ἄρκυς οὔτε ἄλλο
οὐδὲν φέρεσθαι ὁμόσε τῷ πλησιάζοντι· ὅμως μέντοι προσιτέον, ὅταν ἔχῃ οὕτως, καὶ ἐπιδεικτέον τὴν εὐψυχίαν, δι' ἣν εἵλοντο ἐκπονεῖν τὴν ἐπιθυμίαν
22 ταύτην. χρηστέον δὲ τῷ προβολίῳ καὶ ταῖς προβολαῖς τοῦ σώματος, ὡς εἴρηται· εἰ γάρ τι καὶ πάσχοι, οὐκ ἂν διά γε τὸ μὴ ὀρθῶς ποιεῖν πάσχοι. ἵστανται δὲ αἱ ποδοστράβαι αὐτοῖς ὥσπερ ταῖς ἐλάφοις ἐν τοῖς αὐτοῖς τόποις, καὶ ἐπισκέψεις αἱ αὐταὶ καὶ μεταδρομαὶ καὶ
23 αἱ πρόσοδοι καὶ αἱ χρεῖαι τοῦ προβολίου. τὰ δὲ νεο-

---

5 *εἰσβολαὶ δὲ ἐνθένδε* vel *εἰσβολὰς δὲ ποιεῖται ἐνθένδε* Diels *ἐπ' εἰσβολὰς δὲ* Christian *ἢ εἰσβολαί εἰσιν* Löw. | 8 *τόπους*, Raderm. | 16 *γ'* Piccolomini : *δ'* | 19 *τοῦ* add. ante *δάσεος* Schneid.

γενῆ αὐτῶν ὅταν ἁλίσκηται, χαλεπῶς τοῦτο πάσχει· οὔτε γὰρ μονοῦται, ἕως ἂν μικρὰ ᾖ, ὅταν τε αἱ κύνες εὕρωσιν ἢ προΐδῃ τι, ταχὺ εἰς τὴν ὕλην ἀφανίζεται· ἔπονταί τε ἐπὶ τὸ πολὺ ἄμφω ὧν ἂν ὦσιν, χαλεποὶ ὄντες τότε καὶ μᾶλλον μαχόμενοι ὑπὲρ ἐκείνων ἢ ὑπὲρ αὐτῶν.

Λέοντες δὲ καὶ παρδάλεις, λύγκες, πάνθηρες, XI ἄρκτοι καὶ τἆλλα ὅσα ἐστὶ τοιαῦτα θηρία ἁλίσκεται ἐν ξέναις χώραις περὶ τὸ Πάγγαιον ὄρος καὶ τὸν Κίττον τὸν ὑπὲρ τῆς Μακεδονίας, τὰ δ' ἐν τῷ Ὀλύμπῳ τῷ Μυσίῳ καὶ ἐν Πίνδῳ, τὰ δ' ἐν τῇ Νύσῃ τῇ ὑπὲρ τῆς Συρίας, καὶ πρὸς τοῖς ἄλλοις ὄρεσιν, ὅσα οἷά τ' ἐστὶ τρέφειν τοιαῦτα. ἁλίσκεται δὲ τὰ ἐν τοῖς ὄρεσι 2 φαρμάκῳ διὰ δυσχωρίαν, ἀκονιτικῷ. παραβάλλουσι δὲ τοῦτο οἱ θηρώμενοι, συμμειγνύντες εἰς τὸ αὐτό, ὅτῳ ἂν ἕκαστον χαίρῃ, περὶ τὰ ὕδατα καὶ πρὸς ὅ,τι ἂν ἄλλο προσίῃ. τὰ δὲ αὐτῶν καταβαίνοντα εἰς τὸ 3 πεδίον τῆς νυκτὸς ἀποκλεισθέντα μετὰ ἵππων καὶ ὅπλων ἁλίσκεται, εἰς κίνδυνον καθιστάντα τοὺς αἱροῦντας. ἔστι δὲ οἷς αὐτῶν καὶ ὀρύγματα ποιοῦσι 4 περιφερῆ μεγάλα βαθέα, ἐν μέσῳ λείποντες κίονα τῆς γῆς. ἐπὶ δὲ τοῦτον εἰς νύκτα ἐπέθεσαν θήσαντες αἶγα, καὶ ἔφραξαν κύκλῳ τὸ ὄρυγμα ὕλῃ ὥστε μὴ προορᾶν, εἴσοδον οὐ λείποντες. τὰ δὲ ἀκούοντα τῆς φωνῆς ἐν τῇ νυκτὶ κύκλῳ τὸν φραγμὸν περιθέουσι, καὶ ἐπειδὰν μὴ εὑρίσκῃ εἴσοδον, ὑπερπηδᾶ καὶ ἁλίσκεται.

Περὶ μὲν αὐτῶν τῶν πράξεων τῶν ἐν τοῖς κυνηγεσίοις εἴρηται. ὠφελήσονται δ' οἱ ἐπιθυμήσαντες XII τούτου τοῦ ἔργου πολλά· ὑγίειάν τε γὰρ τοῖς σώμασι παρασκευάζει καὶ ὁρᾶν καὶ ἀκούειν μᾶλλον, γηρά-

4 τε] δὲ Saupp. | 24 προορᾶν Dind. : περιορᾶν | 31 παρασκευάζει Stobaeus III Flor. t. 29, 76. παρασκευάζουσι libri.

σκειν δὲ ἧττον, τὰ δὲ πρὸς τὸν πόλεμον μάλιστα
2 παιδεύει. πρῶτον μὲν γὰρ τὰ ὅπλα ὅταν ἔχοντες πο-
ρεύωνται ὁδοὺς χαλεπάς, οὐκ ἀπεροῦσιν· ἀνέξονται
γὰρ τοὺς πόνους διὰ τὸ εἰθίσθαι μετὰ τούτων αἱρεῖν
τὰ θηρία. ἔπειτα εὐνάζεσθαί τε σκληρῶς δυνατοὶ
ἔσονται καὶ φύλακες εἶναι ἀγαθοὶ τοῦ ἐπιταττομένου.
3 ἐν δὲ ταῖς προσόδοις ταῖς πρὸς τοὺς πολεμίους ἅμα
οἷοί τε ἔσονται ἐπιέναι καὶ τὰ παραγγελλόμενα ποιεῖν
διὰ τὸ οὕτω καὶ αὐτοὶ αἱρεῖν τὰς ἄγρας. τεταγμένοι
δ' ἐν τῷ πρόσθεν οὐ λείψουσι τὰς τάξεις διὰ τὸ καρ-
4 τερεῖν δύνασθαι. ἐν φυγῇ δὲ τῶν πολεμίων ὀρθῶς
καὶ ἀσφαλῶς διώξονται τοὺς ἐναντίους ἐν παντὶ χω-
ρίῳ διὰ συνήθειαν. δυστυχήσαντος δὲ οἰκείου στρα-
τοπέδου ἐν χωρίοις ὑλώδεσι καὶ ἀποκρήμνοις ἢ ἄλ-
λως χαλεποῖς οἷοί τ' ἔσονται καὶ αὐτοὶ σῴζεσθαι μὴ
αἰσχρῶς καὶ ἑτέρους σῴζειν· ἡ γὰρ συνήθεια τοῦ
5 ἔργου παρέξει αὐτοῖς πλέον τι εἰδέναι. καὶ ἤδη τινὲς
τῶν τοιούτων, πολλοῦ ὄχλου συμμάχων τρεφθέντος,
τῇ αὑτῶν εὐταξίᾳ καὶ θράσει διὰ δυσχωρίαν ἁμαρ-
τόντας τοὺς πολεμίους νενικηκότας ἀναμαχόμενοι
ἐτρέψαντο· ἀεὶ γάρ ἐστι τοῖς τὰ σώματα καὶ τὰς ψυ-
6 χὰς εὖ ἔχουσιν ἐγγὺς τὸ εὐτυχῆσαι. εἰδότες δὲ καὶ
οἱ πρόγονοι ἡμῶν, ὅτι ἐντεῦθεν εὐτύχουν πρὸς τοὺς
πολεμίους, ἐπιμέλειαν τῶν νέων ἐποιήσαντο· σπανί-
ζοντες γὰρ καρπῶν τὸ ἐξ ἀρχῆς ἐνόμισαν ὅμως
τοὺς κυνηγέτας μὴ κωλύειν διὰ τὸ μηδενὸς τῶν ἐπὶ
7 τῇ γῇ φυομένων ἀγρεύειν· πρὸς δὲ τούτῳ μὴ νυκτε-
ρεύειν ἐντὸς πολλῶν σταδίων, ἵνα μὴ ἀφαιροῖντο τὰς
θήρας αὐτῶν οἱ ἔχοντες ταύτην τὴν τέχνην. ἑώρων
γάρ, ὅτι τῶν νεωτέρων ἡ ἡδονὴ μόνη αὕτη πλεῖστα

2 γὰρ S. om. libri | 3 ἀποροῦσιν S. B | 14.15 ἄλλως S. ἄλλοις libri | 19 εὐταξίᾳ S. εὐεξίᾳ libri | 22 τὸ S. εἶναι τοῦ libri.

ἀγαθὰ παρασκευάζει. σώφρονάς τε γὰρ ποιεῖ καὶ δικαίους διὰ τὸ ἐν τῇ ἀληθείᾳ παιδεύεσθαι· τά τε 8
ἄλλα γὰρ καὶ τὰ τοῦ πολέμου διὰ τούτων εὐτυχοῦντες ᾐσθάνοντο· καὶ τῶν ἄλλων εἴ τι βούλονται ἐπιτηδεύειν καλῶν οὐδενὸς ἀποστερεῖ ὥσπερ ἕτεραι κακαὶ ἡδοναί, ἃς οὐ χρὴ μανθάνειν. ἐκ τῶν τοιούτων οὖν στρατιῶταί τε ἀγαθοὶ καὶ στρατηγοὶ γίγνονται. ὧν 9
γὰρ οἱ πόνοι τὰ μὲν αἰσχρὰ καὶ ὑβριστικὰ ἐκ τῆς ψυχῆς καὶ τοῦ σώματος ἀφαιροῦνται, ἐπιθυμίαν δ' ἀρετῆς ἐνηύξησαν, οὗτοι ἄριστοι· οὐ γὰρ ἂν περιίδοιεν οὔτε τὴν πόλιν τὴν ἑαυτῶν ἀδικουμένην οὔτε τὴν χώραν πάσχουσαν κακῶς.

[Λέγουσι δέ τινες, ὡς οὐ χρὴ ἐρᾶν κυνηγεσίων, ἵνα 10
μὴ τῶν οἰκείων ἀμελῶσιν, οὐκ εἰδότες, ὅτι οἱ τὰς πόλεις καὶ τοὺς φίλους εὖ ποιοῦντες πάντες τῶν οἰκείων ἐπιμελέστεροί εἰσιν. εἰ οὖν οἱ φιλοκυνηγέται 11
παρασκευάζουσιν αὑτοὺς τῇ πατρίδι χρησίμους εἶναι εἰς τὰ μέγιστα, οὐδ' ἂν τὰ ἴδια πρόοιντο· σὺν γὰρ τῇ πόλει καὶ σῴζεται καὶ ἀπόλλυται τὰ οἰκεῖα ἑκάστου· ὥστε πρὸς τοῖς αὑτῶν καὶ τὰ τῶν ἄλλων ἰδιωτῶν οἱ τοιοῦτοι σῴζουσι. πολλοὶ δὲ ὑπὸ φθόνου 12
ἀλόγιστοι τῶν ταῦτα λεγόντων αἱροῦνται διὰ τὴν αὑτῶν κακίαν ἀπολέσθαι μᾶλλον ἢ ἑτέρων ἀρετῇ σῴζεσθαι· αἱ γὰρ ἡδοναὶ πολλαὶ καὶ κακαί· ὧν ἡττώμενοι ἢ λέγειν ἢ πράττειν ἐπαίρονται τὰ χείρω. εἶτα 13
ἐκ μὲν τῶν ματαίων λόγων ἔχθρας ἀναιροῦνται, ἐκ δὲ τῶν κακῶν ἔργων νόσους καὶ ζημίας καὶ θανάτους καὶ αὐτῶν καὶ παίδων καὶ φίλων, ἀναισθήτως

2.4 [τά τε - ᾐσθάνοντο] Schneid. | 10 δ' post οὗτοι add. Schneid. | 13 sqq. capita XII 10-22 XIII uncis includit P. | 18 πρόοιντο] ἀργοί εἰσιν Stob. II 31, 130 | 21 φόβου S. | 23 ἀπόλλυσθαι C. | 24 πολλαὶ S. αἱ π. libri | [καὶ] Schneid. | 25 ἢ ante λέγειν om. S.

μὲν τῶν κακῶν ἔχοντες, τῶν δὲ ἡδονῶν πλέον τῶν ἄλλων αἰσθανόμενοι, οἷς τίς ἂν χρήσαιτο εἰς πόλεως
14 σωτηρίαν; τούτων μέντοι τῶν κακῶν οὐδεὶς ὅστις οὐκ ἀφέξεται ἐρασθεὶς ὧν ἐγὼ παραινῶ· παίδευσις γὰρ καλὴ διδάσκει χρῆσθαι νόμοις καὶ λέγειν περὶ
15 τῶν δικαίων καὶ ἀκούειν. οἱ μὲν οὖν παρασχόντες αὐτοὺς ἐπὶ τὸ ἀεί τι μοχθεῖν τε καὶ διδάσκεσθαι ἑαυτοῖς μὲν μαθήσεις καὶ μελέτας ἐπιπόνους ἔχουσι, σωτηρίαν δὲ ταῖς ἑαυτῶν πόλεσιν· οἱ δὲ μὴ θέλοντες διὰ τὸ ἐπίπονον διδάσκεσθαι, ἀλλὰ ἐν ἡδοναῖς
16 ἀκαίροις διάγειν, φύσει οὗτοι κάκιστοι. οὔτε γὰρ νόμοις οὔτε λόγοις ἀγαθοῖς πείθονται· οὐ γὰρ εὑρίσκουσι διὰ τὸ μὴ πονεῖν, οἷον χρὴ τὸν ἀγαθὸν εἶναι· ὥστε οὔτε θεοσεβεῖς δύνανται εἶναι οὔτε σοφοί· τῷ δὲ ἀπαιδεύτῳ χρώμενοι πολλὰ ἐπιτιμῶσι τοῖς πε-
17 παιδευμένοις. διὰ μὲν οὖν τούτων οὐδὲν ἂν καλῶς ἔχοι· διὰ δὲ τῶν ἀμεινόνων ἅπασαι αἱ ὠφέλειαι τοῖς ἀνθρώποις εὕρηνται· ἀμείνους οὖν οἱ θέλοντες πο-
18 νεῖν. καὶ τοῦτο ἐπιδέδεικται μεγάλῳ παραδείγματι· τῶν γὰρ παλαιοτέρων οἱ παρὰ Χίρωνι ὢν ἐπεμνήσθην νέοι ὄντες ἀρξάμενοι ἀπὸ τῶν κυνηγεσίων πολλὰ καὶ καλὰ ἔμαθον· ἐξ ὧν ἐγένετο αὐτοῖς μεγάλη ἀρετὴ δι' ἣν καὶ νῦν θαυμάζονται· ἧς ὅτι μὲν ἐρῶσιν ἅπαντες εὔδηλον, ὅτι δὲ διὰ πόνων ἔστι τυχεῖν αὐτῆς,
19 οἱ πολλοὶ ἀφίστανται. τὸ μὲν γὰρ κατεργάσασθαι αὐτὴν ἄδηλον, οἱ δὲ πόνοι οἱ ἐν αὐτῇ ἐνόντες φανεροί. ἴσως μὲν οὖν, εἰ ἦν τὸ σῶμα αὐτῆς δῆλον, οὐκ ἂν ἠμέλουν οἱ ἄνθρωποι ἀρετῆς, εἰδότες, ὅτι ὥσπερ αὐτοῖς ἐκείνη ἐμφανής ἐστιν, οὕτω καὶ αὐτοὶ ὑπ'
20 ἐκείνης ὁρῶνται. ὅταν μὲν γάρ τις ὁρᾶται ὑπὸ τοῦ

2 πολλῶν S. | 7 ἀεί τι om. S. | 14 δύναιντ' ἄν S. | 15 δὲ] τε Stob. | 17 αἱ om. S. | 18 οὖν] δὲ S.

ἐρωμένου, ἅπας ἑαυτοῦ ἐστι βελτίων, καὶ οὔτε λέγει
οὔτε ποιεῖ αἰσχρὰ οὐδὲ κακά, ἵνα μὴ ὀφθῇ ὑπ' ἐκεί-
νου. ὑπὸ δὲ τῆς ἀρετῆς οὐκ οἰόμενοι ἐπισκοπεῖσθαι 21
πολλὰ κακὰ καὶ αἰσχρὰ ἐναντίον ποιοῦσιν, ὅτι αὐτὴν
ἐκεῖνοι οὐχ ὁρῶσιν· ἡ δὲ πανταχοῦ πάρεστι διὰ τὸ
εἶναι ἀθάνατος καὶ τιμᾷ τοὺς περὶ αὐτὴν ἀγαθούς,
τοὺς δὲ κακοὺς ἀτιμάζει. εἰ οὖν εἰδεῖεν τοῦτο, ὅτι 22
θεᾶται αὐτούς, ἵεντο ἂν ἐπὶ τοὺς πόνους καὶ τὰς
παιδεύσεις, αἷς ἁλίσκεται μόλις, καὶ κατεργάζοιντο ἂν
αὐτήν. θαυμάζω δὲ τῶν σοφιστῶν καλουμένων ὅτι XIII
φασὶ μὲν ἐπ' ἀρετὴν ἄγειν οἱ πολλοὶ τοὺς νέους,
ἄγουσι δ' ἐπὶ τοὐναντίον· οὔτε γὰρ [ἄν] ἄνδρα που
ἑωράκαμεν, ὅντιν' οἱ νῦν σοφισταὶ ἀγαθὸν ἐποίησαν,
οὔτε γράμματα παρέχονται, ἐξ ὧν χρὴ ἀγαθοὺς γί-
γνεσθαι, ἀλλὰ περὶ μὲν τῶν ματαίων πολλὰ αὐτοῖς 2
γέγραπται, ἀφ' ὧν τοῖς νέοις αἱ μὲν ἡδοναὶ κεναί,
ἀρετὴ δ' οὐκ ἔνι· διατριβὴν δ' ἄλλως παρέχει τοῖς
ἐλπίσασί τι ἐξ αὐτῶν μαθήσεσθαι [μάτην] καὶ ἑτέρων
κωλύει χρησίμων καὶ διδάσκει κακά. μέμφομαι οὖν 3
αὐτοῖς τὰ μὲν μεγάλα μειζόνως· περὶ δὲ ὧν γρά-
φουσιν, ὅτι τὰ μὲν ῥήματα αὐτοῖς ἐζήτηται, γνῶμαι
δὲ ὀρθῶς ἔχουσαι, αἷς ἂν παιδεύοιντο οἱ νεώτεροι
ἐπ' ἀρετήν, οὐδαμοῦ. ἐγὼ δὲ ἰδιώτης μέν εἰμι, οἶδα 4
δέ, ὅτι κράτιστον μέν ἐστι παρὰ τῆς αὐτοῦ φύσεως
τὸ ἀγαθὸν διδάσκεσθαι, δεύτερον δὲ παρὰ τῶν ἀλη-
θῶς ἀγαθόν τι ἐπισταμένων μᾶλλον ἢ ὑπὸ τῶν ἐξα-
πατᾶν τέχνην ἐχόντων. ἴσως οὖν τοῖς μὲν ὀνόμασιν 5
οὐ σεσοφισμένοις λέγω· οὐδὲ γὰρ ζητῶ τοῦτο· ὧν
δὲ δέονται εἰς ἀρετὴν οἱ καλῶς πεπαιδευμένοι, ὀρθῶς

---

4 [*κακὰ*] Dind. | 12 *ἄν* del. Dind. | 17 *διατριβὴν* Castalio : *διατρίβειν* | 18 *μάτην* del. Schneid. | 26 *ἀγαθῶν* S. | 28 *σεσο-φισμένοις* Dind. *-νους* A *-νως* cett.

ἐγνωσμένα ζητῶ λέγειν· ὀνόματα μὲν γὰρ οὐκ ἂν
6 παιδεύσειε, γνῶμαι δέ, εἰ καλῶς ἔχοιεν. ψέγουσι δὲ
καὶ ἄλλοι πολλοὶ τοὺς νῦν σοφιστὰς [καὶ οὐ τοὺς
φιλοσόφους], ὅτι ἐν τοῖς ὀνόμασι σοφίζονται, οὐκ ἐν
τοῖς νοήμασιν. οὐ λανθάνει δέ με, ὅτι καλῶς καὶ
ἑξῆς γεγραμμένα φήσει τις ἴσως τῶν τοιούτων οὐ
καλῶς οὐδ' ἑξῆς γεγράφθαι· ῥᾴδιον γὰρ ἔσται αὐτοῖς
7 ταχύ, μὴ ὀρθῶς, μέμψασθαι· καίτοι γέγραπταί γε
οὕτως, ἵνα ὀρθῶς ἔχῃ, καὶ μὴ σοφιστικοὺς ποιῇ
ἀλλὰ σοφοὺς καὶ ἀγαθούς· οὐ γὰρ δοκεῖν αὐτὰ βού-
λομαι μᾶλλον ἢ εἶναι χρήσιμα, ἵνα ἀνεξέλεγκτα ᾖ εἰς
8 ἀεί. οἱ σοφισταὶ δ' ἐπὶ τῷ ἐξαπατᾶν λέγουσι, καὶ
γράφουσιν ἐπὶ τῷ ἑαυτῶν κέρδει καὶ οὐδένα οὐδὲν
ὠφελοῦσιν· οὐδὲ γὰρ σοφὸς αὐτῶν ἐγένετο οὐδεὶς
οὐδ' ἔστιν, ἀλλὰ καὶ ἀρκεῖ ἑκάστῳ σοφιστὴν κληθῆ-
9 ναι, ὃ ἐστιν ὄνειδος παρά γε τοῖς εὖ φρονοῦσι. τὰ
μὲν οὖν τῶν σοφιστῶν παραγγέλματα παραινῶ φυ-
λάττεσθαι, τὰ δὲ τῶν φιλοσόφων ἐνθυμήματα μὴ
ἀτιμάζειν· οἱ μὲν γὰρ σοφισταὶ πλουσίους καὶ νέους
θηρῶνται, οἱ δὲ φιλόσοφοι πᾶσι κοινοὶ καὶ φίλοι·
τύχας δὲ ἀνδρῶν οὔτε τιμῶσιν οὔτε ἀτιμάζουσι.

10 Μὴ ζηλοῦν δὲ μηδὲ τοὺς ἐπὶ τὰς πλεονεξίας εἰκῇ
ἰόντας, μήτ' ἐπὶ τὰς ἰδίας μήτ' ἐπὶ τὰς δημοσίας,
ἐνθυμηθέντα, ὅτι οἱ μὲν ἄριστοι [αὐτῶν] γιγνώσκονται
μὲν ἐπὶ τὰ βελτίω ἐπίπονοί τέ εἰσιν, οἱ δὲ κακοὶ
πάσχουσί τε κακῶς καὶ γιγνώσκονται ἐπὶ τὰ χείρω.
11 τάς τε γὰρ τῶν ἰδιωτῶν σὐσίας ἀφαιρούμενοι καὶ τὰ
τῆς πόλεως εἰς τὰς κοινὰς σωτηρίας ἀνωφελέστεροί
εἰσι τῶν ἰδιωτῶν, τά τε σώματα πρὸς τὸν πόλεμον

3.4 καὶ - φιλοσ. del. P. | τοὺς del. Kaibel | 8 τὰ χύδην sc. γεγραμμένα μὴ ὀρθῶς Kaibel τά γε μὴ ὀρθῶς, sc. γεγραμμ. Diels | 16 τοῖς add. Iuntina.

κάκιστα καὶ αἴσχιστα ἔχουσι πονεῖν οὐ δυνάμενοι. οἱ δὲ κυνηγέται εἰς τὸ κοινὸν τοῖς πολίταις καὶ τὰ σώματα καὶ τὰ κτήματα καλῶς ἔχοντα παρέχουσιν. ἔρχονται δὲ 12 οἱ μὲν ἐπὶ τὰ θηρία, οἱ δ' ἐπὶ τοὺς φίλους. εἶθ' οἱ μὲν ἐπὶ τοὺς φίλους ἰόντες δύσκλειαν ἔχουσι παρὰ πᾶσιν, οἱ δὲ κυνηγέται ἐπὶ τὰ θηρία ἰόντες εὔκλειαν· ἑλόντες μὲν γὰρ πολέμια νικῶσι, μὴ ἑλόντες δὲ πρῶτον ὅτι πάσης τῆς πόλεως ἐχθροῖς ἐπιχειροῦσιν ἔπαινον ἔσχον, ἔπειτα ὅτι οὔτ' ἐπ' ἀνδρὸς βλάβῃ οὔτε φιλοκερδείᾳ ἔρχονται. ἔπειτα ἐξ αὐτοῦ τοῦ ἐπιχειρή- 13 ματος βελτίους γίγνονται πρὸς πολλὰ καὶ σοφώτεροι δι' οὗ διδάξομεν. ἐὰν γὰρ μὴ πόνοις καὶ ἐνθυμήμασι καὶ ἐπιμελείας πολλαῖς ὑπερβάλλωνται, οὐκ ἂν ἕλοιεν ἄγρας. τὰ γὰρ ἀντίπαλα αὐτῶν ὑπὲρ τῆς ψυχῆς 14 ἀγωνιζόμενα καὶ ἐν τῇ αὐτῶν οἰκήσει ἐν ἰσχύι πολλῇ ἐστιν· ὥστε τῷ κυνηγέτῃ μάτην οἱ πόνοι γίγνονται, ἐὰν μὴ μείζονι φιλοπονίᾳ καὶ πολλῇ συνέσει κρατήσῃ αὐτῶν. οἱ μὲν οὖν κατὰ πόλιν βουλόμενοι πλεονε- 15 κτεῖν μελετῶσι νικᾶν φίλους, οἱ δὲ κυνηγέται κοινοὺς ἐχθρούς· καὶ τοὺς μὲν ἡ μελέτη αὕτη ποιεῖ πρὸς τοὺς ἄλλους πολεμίους ἀμείνους, τοὺς δὲ πολὺ χείρους· καὶ τοῖς μὲν ἡ ἄγρα μετὰ σωφροσύνης, τοῖς δὲ μετὰ αἰσχροῦ θράσους. κακοηθείας δὲ καὶ αἰσχροκερδείας 16 οἱ μὲν δύνανται καταφρονεῖν, οἱ δ' οὐ δύνανται· φωνὴν δὲ οἱ μὲν εὐεπῆ ἴασιν, οἱ δ' αἰσχράν· πρὸς δὲ τὰ θεῖα τοῖς μὲν οὐδὲν ἐμποδὼν ἀσεβεῖν, οἱ δ' εὐσεβέστατοι. λόγοι γὰρ παλαιοὶ κατέχουσιν, ὡς 17 καὶ θεοὶ τούτῳ τῷ ἔργῳ χαίρουσι καὶ πράττοντες καὶ ὁρῶντες· ὥστε ὑπάρχειν ἐνθυμουμένους τούτων θεοφιλεῖς τ' εἶναι καὶ εὐσεβεῖς [εἰς] τοὺς νέους τοὺς ποιοῦντας ἃ ἐγὼ παραινῶ, οἰομένους ὑπὸ θεῶν του

30 εἰς del. Brodaeus | 31 [του] Brodaeus.

ὁρᾶσθαι ταῦτα. οὗτοι δ' ἂν εἶεν καὶ τοκεῦσιν ἀγαθοὶ καὶ πάσῃ τῇ ἑαυτῶν πόλει καὶ ἑνὶ ἑκάστῳ τῶν φίλων καὶ πολιτῶν. οὐ μόνον δὲ ὅσοι ἄνδρες κυνηγεσίων 18 *ἠράσθησαν ἐγένοντο ἀγαθοί, ἀλλὰ καὶ αἱ γυναῖκες, αἷς ἔδωκεν ἡ θεὸς ταῦτα [Ἄρτεμις], Ἀταλάντῃ καὶ Πρόκρις καὶ ἥτις ἄλλη.*

4 [*αἱ*] Dind. | 5 *Ἄρτεμις* del. Weisk.

INDICES

INDEX NOMINVM.

(E. = de re equestri ; H. = Hipparchicus ; L. = Lacedaemoniorum respublica ; R. = de reditibus ; V. = de venatione).

Ἀγροτέρα Ἄρτεμις V. 6, 13
Ἀθηνᾶ L. 13, 3
Ἀθῆναι R. 1, 7, 8. 3, 2. 5, 2, 10
Ἀθηναῖοι R. 2, 5. 3, 10. 4, 17, 22, 30, 33, 47. 5, 7 [bis]. H. 1, 26. 7, 1, 2 bis, 4
Ἀθήνησι(ν) R. 1, 1. 2, 7 bis. 5, 5. E. 1, 1
Αἰθήρ nomen canis V. 7, 5
Αἰνείας V. 1, 2, 15
Αἰχμή nomen canis V. 7, 5
Ἀκαδημία H. 3, 1, 14
Ἀκτίς nomen canis V. 7, 5
Ἄλκαθος V. 1, 9
Ἀλκή nomen canis V. 7, 5
Ἀμφιάραος V. 1, 2, 8
Ἀνάφλυστος R. 4, 43
Ἀνθεύς nomen canis V. 7, 5
Ἀντίλοχος V. 1, 2, 14
Ἀπόλλων V. 1, 1. 6, 13
Ἀρκάδες R. 3, 7
Ἄρτεμις V. 1, 1, 11. 6, 13. [13, 18]
Ἀσκληπιός V. 1, 2, 6
Ἀταλάντη V. 1, 7. 13, 18
Ἀττική R. 1, 3
Αὐγώ nomen canis V. 7, 5
Ἀχιλλεύς V. 1, 2, 5, 16

Βήσση R. 4, 44
Βία nomen canis V. 7, 5
Βοιωτοί L. 2, 12. H. 7, 4
Βρέμων nomen canis V. 7, 5
Βρύας nomen canis V. 7, 5

Γηθεύς nomen canis V. 7, 5
Γνώμη nomen canis V. 7, 5

Δεκέλεια R. 4, 25
Δελφοί L. 8, 5. R. 5, 9. 6, 2
Διομήδης V. 1, 2, 13
Διονύσια H. 3, 2
Δωδώνη R. 6, 2

Ἐλευσίνιον H. 3, 2
Ἑλλάς L. 1, 1. R. 1, 6 bis. 5, 2, 8, 9. V. 1, 10, 13, 17 bis
Ἕλληνες L. 1, 3. 2, 1, 12, 14. 4, 7. 5, 2. 7, 1. 14, 6. R. 1, 2, 4. 5, 5, 8, 9. 6, 1. H. 7, 4. V. 1, 7, 9, 12, 14, 17. 2, 3
Ἑρμαί H. 3, 2 bis

Ζεύς L. 13, 3 Ἀγήτωρ L. 13, 2

Ἥβα nomen canis V. 7, 5
Ἡγησίλεως R. 3, 8
Ἠλεῖοι L. 2, 12
Ἡρακλείδαι L. 10, 8
Ἡρακλῆς V. 1, 9

Ἡσιόνη V. 1, 10

Θάλλων nomen canis V. 7, 5
Θῆβαι R. 4, 47. V. 1, 8
Θηβαῖοι R. 5, 7
Θησεύς V. 1, 2, 10
Θορικός R. 4, 43
Θυμός nomen canis V. 7, 5

Ἰνδικαὶ κύνες V. 9, 1. 10, 1
Ἱππόλυτος V. 1, 2, 11
Ἱππονίκος R. 4, 15

Καίνων nomen canis V. 7, 5
Καρχηδόνιον λίνον V. 2, 4
Κάστωρ V. 1, 2, 13. 3, 1
Κέφαλος V. 1, 2, 6
Κίττον V. 11, 1
Κραύγη nomen canis V. 7, 5
Κρητικαὶ κύνες V. 10, 1

Λάκαιναι κύνες V. 10, 1, 4
Λακεδαιμόνιοι L. 11, 2, 8. 12, 5. 13, 5, 8. 14, 2. 15, 9. R. 5, 7
Λακεδαίμων L. 2, 13. 9, 4. 14, 6, 7
Λακωνικὴ παιδεία L. 2, 14
τάξις L. 11, 5 bis
Λεύσσων nomen canis V. 7, 5
Λογχή nomen canis V. 7, 5
Λοκρίδαι κύνες V. 10, 1
Λόχος nomen canis V. 7, 5
Λυδοί R. 2, 3
Λύκειον H. 3, 1
Λυκοῦργος L. 1, 2, 4. 2, 2, 13. 3, 2. 4, 7. 5, 1, 2, 5, 8. 6, 1. 7, 1, 2. 8, 1, 5. 9, 1. 10, 1, 4, 8. 11, 7. 12, 1. 13, 1, 8. 14, 1, 7. 15, 2, 9
Λυσίστρατος R. 3, 7

Μακεδονία V. 11, 1
Μαχάων V. 1, 2, 14
Μέγαρα R. 4, 46
Μειλανίων V. 1, 2, 7
Μελέαγρος V. 1, 2, 10
Μενεσθεύς V. 1, 2, 12
Μήδας nomen canis V. 7, 5
Μηδικά (*τά*) R. 5, 5
Μύσιος Ὄλυμπος V. 11, 1

Νέστωρ V. 1, 2, 7, 12
Νικήρατος R. 4, 14
Νικίας R. 4, 14
Νόης nomen canis V. 7, 5
Νύση V. 11, 1

Ξίφων nomen canis V. 7, 5

Ὀδρύσαι E. 8, 6
Ὀδυσσεύς V. 1, 2, 13
Οἰνάς nomen canis V. 7, 5
Ὄλυμπος V. 11, 1
Ὀργή nomen canis V. 7, 5
Ὀρθία Ἄρτεμις L. 2, 9
Ὁρμή nomen canis V. 7, 5

Πάγγαιον ὄρος V. 11, 1
Παλαμήδης V. 1, 2, 11
Πειραιεύς R. 3, 13
Περίβοια V. 1, 9
Πέρσαι E. 8, 6
Περσικὸς τρόπος H. 1, 17. E. 6, 12
Πηλεύς V. 1, 2, 8
Πίνδος V. 11, 1
Ποδαλείριος V. 1, 2, 14
Ποδῆς nomen canis V. 7, 5
Πολυδεύκης V. 1, 2, 13

Πόρθων nomen canis V. 7, 5
Πόρπαξ nomen canis V. 7, 5
Πρόκρις V. 13, 18
Πύθιοι L. 15, 5

Ῥώμη nomen canis V. 7, 5

Σθένων nomen canis V. 7, 5
Σίμων E. 1, 1, 3. 11, 16
Σκιρῖται L. 12, 3. 13, 6
Σούνιον R. 4, 49
Σπάρτη L. 1, 1, 10. 5, 5. 7, 1, 2. 8, 1, 2. 8, 5. 10, 4 bis
Σπαρτιᾶται L. 1, 2. 5, 2, 9
Σπέρχων nomen canis V. 7, 5
Σπουδή nomen canis V. 7, 5
Στερρός nomen canis V. 7, 5
Στίβων nomen canis V. 7, 5
Στίχων nomen canis V. 7, 5
Στύραξ nomen canis V. 7, 5
Σύριοι R. 2, 3
Σωσίας Θρᾷξ R. 4, 14

Τάξις nomen canis V. 7, 5
Τελαμών V. 1, 2, 9
Τεύχων nomen canis V. 7, 5
Τροία V. 1, 10, 13, 15
Τύρβας nomen canis V. 7, 5

Ὕβρις nomen canis V. 7, 5
Ὑλεύς nomen canis V. 7, 5

Φάληρον H. 3, 1
Φασιανὸν λίνον V. 2, 4
Φιλημονίδης R. 4, 15
Φλέγων nomen canis V. 7, 5
Φόναξ nomen canis V. 7, 5
Φρουρά nomen canis V. 7, 5
Φρύγες R. 2, 3
Φύλαξ nomen canis V. 7, 5
Φωκεῖς R. 5, 9

Χαρά nomen canis V. 7, 5
Χίρων V. 1, 3, 4, 13, 17. 12, 18

Ψυχή nomen canis V. 7, 5

INDEX VERBORVM

nota dignorum vel ab Attica dialecto abhorrentium vel neque a Xenophonte alibi neque ab eius aequalibus usurpatorum.

ἄγημα L. 11, 9. 13, 6
ἀγκύλη V. 6, 1
ἀγλαΐα E. 5, 8
ἀγρευτικός H. 4, 12
ἀδόκιμος L. 3, 3
ἀείμνηστος V. 1, 6
ἀέναος R. 4, 17 V. 6, 5
ἀήθεια V. 3, 8
ἀθροιστέον L. 7, 4
αἰσχρολογία L. 5, 6
αἰτητέον H. 5, 11
αἰωρεῖσθαι V. 4, 4
ἀκάθαρτος E. 5, 10
ἄκαμπτος E. 10, 9
ἀκίνητος L. 14, 1
ἀκονιτικός V. 11, 2
ἀκοντισμός H. 3, 6
ἄκοκος E. 1, 6
ἀκρωλένιον V. 2, 6. 6, 9
ἄκρως V. 5, 30
ἀλεξητήριον E. 5, 6
ἀλλάττειν V. 2. 2
ἄλυσις E. 10, 9
ἄλυτος V. 5, 3
ἀμβλυωπεῖν V. 5, 27
ἀμισής E. 8, 9
ἄμμα E. 5, 1
ἀμφιβαίνειν V. 10, 13
ἀμφίδοχμος E. 4, 4
ἀμφίδρομος V. 6, 5
ἀμφιθάλαττος R. 1, 7
ἀμφίτομος E. 4, 4
ἀναβαίνειν H. 1, 4. 3, 4 E. 3, 4
ἀναβιβαστέον H. 1, 2
ἀνάγκη V. 7, 1.
ἀναγορεύειν V. 1, 14
ἀναγραφή R. 3, 11
ἀναγρία V. 5, 34
ἀναθορεῖν L. 2, 3
ἀναίσθητος E. 6, 9 -ως V. 12, 13
ἀνάλλεσθαι H. 8, 3
ἀνάμματος V. 2, 5
ἀνανδρία L. 9, 5
ἀναπληροῦν R. 4, 24
ἀναρρηγνύναι V. 7, 9
ἀνασκοπεῖν R. 5, 11
ἀνάστρεμμα V. 4, 4
ἀνέλπιστος V. 7, 9
ἀνεξέλεγκτος V. 13, 7
ἀνεπιστημόνως V. 3, 11
ἀνθιππεύειν E. 8, 12
ἀνίκητος V. 1, 17
ἀνοήτως V. 3, 8
ἀνορούειν E. 3, 7. 8, 5

ἀνταύγεια V. 5, 18
ἀντεξάγειν R. 3, 2
ἀντεραστής V. 1, 7
ἀντηρίς V. 10, 7
ἀντίβλημμα V. 4, 4
ἀντιλάμπειν V. 5, 18
ἀντιληπτέον E. 8, 8
ἀντιπαίζειν V. 5, 4
ἀντισπᾶν V. 5, 1
ἀντισφαιρίζειν L. 9, 5
ἀντιφορτίζειν R. 3, 2
ἀνυποδησία L. 2, 3
ἀξιάγαστος L. 10, 2
ἀξιακρόατος L. 4, 2
ἀξιόλογος L. 1, 8
ἀξιοσπούδαστος L. 10, 3
ἀπίστως V. 3, 7
ἀποδοκιμαστέον E. 3, 8
ἀποκαθιστάναι L. 6, 3
ἀποκείρειν E. 5, 8
ἀπόκροτος E. 7, 15
ἀποκώλυσις E. 3, 11
ἀπολέγειν H. 8, 12
ἀπόρρυτος E. 4, 3
ἀποστέλλειν L. 4, 4
ἀποσχαλίδωμα V. 10, 7
ἀποτιστέον L. 9, 5
ἀποτρίβειν E. 6, 2
ἄπους V. 3, 3
ἀπουσία V. 9, 10
ἀποχαλινοῦν E. 11, 7
ἀποχαλκεύειν V. 10, 3
ἀπρόσκεπτος L. 13, 7
ἄπταιστος E. 1, 6
ἀραιός L. 11, 6
ἀργυρώδης R. 4, 3
ἀρθρώδης V. 4, 1
ἄρκυς V. 2, 4 et passim
ἁρμόζειν L. 14, 2, 4
ἄρριν V. 3, 2, 3
ἄρτιος H. 2, 6
ἄσαρκος V. 4, 1
ἀσήμως V. 3, 4
ἄσηπτος V. 9, 13
ἀσθενῶς H. 5, 3
ἀσιτεῖν L. 2, 5
ἀστεφάνωτος L. 13, 8
ἄστομος V. 3, 3
ἀστυφέλικτος L. 15, 7
ἀσύνδετος V. 5, 30
ἀσχημονεῖν E. 11, 6
ἄτμητος R. 4, 27
ἀτρακτυλίς V. 9, 15
ἀτρίβαστος H. 8, 3
αὐθάδης V. 6, 25
αὔξιμος V. 7, 3
αὐτοσχεδιαστής L. 13, 5
ἀφαυρός E. 12, 8
ἀφιππία H. 8, 13
ἀχαλίνωτος E. 5, 3
ἀχώριστος L. 9, 5

βάδισις V. 8, 3
βαρύτονος V. 5, 30
βλαισός E. 1, 3
βλακώδης E. 9, 1
βοιωτιουργής E. 12, 3
βράδος E. 11, 12
βραχυγνώμων H. 4, 18
βραχύδρομος V. 5, 21
βραχύτης V. 5, 32
βρέξις E. 5, 9
βρύειν V. 5, 12

γαυριᾶσθαι E. 10, 16
γένυς V. 5, 10
γεροντία L. 10, 1, 3
γίγγλυμος E. 12, 6
γλουτός E. 7, 2
γοργοῦσθαι E. 10, 4

γραμμή E. 1, 14
γραπτέον E. 2, 1
γωνία L. 12, 1

δαμοσία L. 13, 7
δεκάμηνος V. 7, 6
δεκόργυιος V. 2, 5
δέραιον V. 6, 1
δεχάμματος V. 10, 2
διάγειν L. 1, 3
διαδρομή V. 10, 8
διάκορος L. 1, 5
διανάστασις V. 10, 18
διαπλατύνειν L. 2, 6
διάρριμμα V. 4, 4
διασαίνειν V. 4, 3
διασείειν V. 6, 15
διάστημα V. 2, 5
διατέμνειν H. 2, 3
διατροχάζειν E. 7, 11
διάττειν V. 6, 22
διαχαλᾶν E. 7, 11
διέλασις H. 3, 4
διλογεῖν E. 8, 2
διλογία E. 8, 2
διόργυιος V. 2, 5
διπάλαιστος V. 2, 4
δίωγμα V. 3, 9
δοκίς V. 9, 15
δορατοπαχής V. 10, 3
δοτέον E. 10, 12
δρόσος V. 5, 3
δρῦς V. 9, 13
δυσγάργαλος E. 3, 10
δυσζήτητος V. 8, 1
δύσκλεια V. 13, 12
δυσμεταχείριστος V. 2, 6
δύσορμον V, 5, 3
δύσοσμος V. 5, 3
δύσπιστος H. 1, 23
δύσπνοια V. 9, 20
δωδεκάλινος V. 2, 6

ἔγγυος R. 4, 20
ἐγκαθῆσθαι E. 1, 11
ἐγκάμπτειν E. 1, 8
ἐγκαταπλέκειν V. 9, 12
ἐγκαταρράπτειν V. 6, 1
ἐγκεντρίς V. 6, 1
ἐγκύμων V. 7, 2
ἑδραῖος L. 1, 3
ἐθελουργός H. 10, 17
ἔθισμα E. 6, 13
εἰκοσόργυιος V. 2, 5
εἰρήν L. 2, 11, et passim
εἰρηνοφύλαξ R. 5, 1
εἰσοικίζειν R. 3, 5
εἰσορμίζεσθαι R. 3, 1
ἑκασταχοῦ H. 7, 14
ἐκθηρᾶσθαι V. 5, 25
ἑκκαιδεκάλινος V. 2, 5
ἔκκρουσις V. 10, 12
ἐκκυνεῖν V. 3, 10
ἔκκυνος V. 7, 10
ἐκπληκτικός H. 8, 18
ἔκπληκτος V. 5, 9
ἐκπράττειν L. 8, 4
ἐκτυποῦν E. 1, 1
ἐκτυφλοῦν E. 10, 2
ἐκφορά E. 3, 5
ἐκφορεῖν R. 4, 2, 32
ἐλατέον H. 2, 7
ἔλειος V. 5, 17
ἑλληνοταμιεία R. 5, 5
ἐμβάς E. 12, 10
ἔμβλεμμα V. 4, 4
ἐμβοᾶν V. 6, 10, 17
ἐμμειδιᾶν V. 4, 3
ἐμπεδορκεῖν L. 15, 7
ἐμπρόσθιος E. 11, 2

ἔμφρονρος L. 5, 7
ἐναλλάξ V. 9, 12
ἐνάπτειν V. 6, 8
ἐναυξάνειν V. 12, 9
ἐνδελεχῶς V. 7, 2
ἐννεάλινος V. 2, 5
ἐνοκιρροῦσθαι E. 4, 2
ἔντμημα V. 2, 8
ἐξαγωγή H. 4, 9
ἐξανθεῖν V. 5, 5
ἐξασκεῖν H. 2, 1
ἐξαφιέναι E. 12, 12
ἐξερημοῦν R. 4, 47
ἐξίλλειν V. 6, 15
ἐξόφθαλμος E. 1, 9
ἐπαλλάξ E. 1, 7
ἐπαναγκάζειν H. 1, 23
ἐπαναίρειν V. 6, 23
ἐπανακύπτειν E. 12, 13
ἐπαναλαμβάνειν L. 13, 2
ἐπαναρριπτεῖν V. 5, 4
ἐπανθεῖν V. 4, 8
ἐπεισιέναι V. 10, 9
ἐπευθύνειν V. 5, 32
ἐπιγνωρίζειν V. 6, 23
ἐπίδρομος V. 6, 9
ἐπικαταβάλλειν V. 4, 3
ἐπικλείειν E. 12, 6
ἐπίκληοις L. 9, 4
ἐπικλίνειν L. 6, 15
ἐπίκροτος H. 3, 14
ἐπινίφειν V. 8, 1
ἐπίξανθος V. 5, 22
ἐπίπεμπτος V. 3, 9
ἐπίπερκνος V. 5, 22
ἐπιπηγνύναι V. 5, 1
ἐπιρραβδοφορεῖν E. 7, 11
ἐπίρρικνος V. 4, 1
ἐπισκέλιοις E. 7, 12
ἐπισκυθρωπάζειν V. 3, 5
ἐπισύρειν V. 5, 13
ἐπίτριτος R. 3, 9
ἐπιφατνίδιος E. 5, 1
ἐπίφορος V. 7, 2
ἐπιχαρίζεσθαι E. 6, 12
ἐρύθημα V. 5, 18
ἑσπερινός L. 12, 6
ἑτεροκλινής V. 2, 8
ἑτερομήκης E. 7, 14
εὐάλωτος V. 9, 9
εὐανάκλητος V. 7, 5
εὐαπάλλακτος E. 1, 1
εὐαρίθμητος H. 5, 5
εὐγονία L. 1, 6
εὐδιεινός V. 5, 9
εὔεδρος E. 1, 12
εὐεξαπάτητος H. 7, 15
εὐεπής V. 13, 16
εὔθριξ V. 4, 6
εὐίατος E. 4, 2
εὐκάρδιος E. 6, 14
εὐκρινής H. 3, 3
εὔκυκλος V. 9, 12
εὐμήκης E. 5, 6
εὐνάσιμος V. 8, 4
εὐπαγής V. 2, 7. 4, 1. 5, 30
εὐπερίσπαστος V. 2, 7
εὐπλατής V. 10, 3
εὔπνους E. 1, 10
εὐποδία E. 1, 3
εὖρις V. 4, 6
εὐρύνειν E. 1, 10
εὐρύστομος E. 10, 10
εὐσταλής E. 7, 8
εὔστομος V. 4, 2
εὔστοχος E. 12, 14
εὔτεκνος L. 1, 8
εὐτρεπής E. 7, 1
εὔτροχος V. 2, 5
εὐχερῶς L. 2, 5

εὔχιλος E. 1, 12
εὐχρόαστος E. 1, 17
εὔχροος L. 5, 5
εὐψυχία V. 10, 21
ἐφορεία L. 8, 3
ἐφορικός L. 15, 6
ἐφύειν V. 9, 5
ἐχῖνος E. 10, 6

ζητήσιμος V. 6, 6

ἦλος V. 9, 12
ἠρεμαίως E. 9, 5
ἠρεμεῖν E. 7, 8. 9, 3, 5, 9

θορυβώδης E. 9, 11
θραύειν V. 6, 1
θωπεία E. 3, 12

ἴζειν V. 9, 14
ἴκτινος H. 4, 18
ἰνώδης V. 4, 1
ἱππαγρέται L. 4, 3
ἱππαστής E. 10, 17
ἱππώδης E. 1, 11
ἱππωνεῖν E. 11, 13. H. 1, 14
ἱππωνία H. 1, 12.
E. 1, 1. 3, 1
ἰσάζειν E. 7, 13
ἰσομεγέθης V. 5, 29
ἰώ V. 6, 17

καθάπτειν V. 6, 9
καθέδρα V. 4, 4
καθέψειν E. 9, 6
καθόλου E. 8, 1
κακοήθεια V. 13, 16
καλίστρα E. 5, 3
καμάκινος E. 12, 12
κάμινος R. 4, 49
καπηλεία R. 4, 6
καρποφορεῖν R. 1, 3
καταβλητικός E. 8, 11
καταγώγιον R. 3, 12
καταίρειν H. 6, 5.
E. 12 6 (?)
καταπλύνειν E. 5, 6
κατάπλυσις E. 5, 9
καταφέρειν V. 5, 3
κατειλεῖν E. 10, 8
κατωφερής V. 5, 30. 10, 9
κεχαρισμενώτατα H. 1, 1
κημός E. 5, 3
κίνησις V. 10, 12
κλών V. 10, 7
κλωπεύειν L. 2, 7
κλωσμός E. 9, 10
κοιλόφθαλμος E. 1, 9
κοινοβουλεῖν L. 13, 1
κορυφαῖον V. 10, 2
κρανέινος E. 12, 12
κράνειος V. 10, 3
κριθίασις E. 4, 2
κρισσός E. 1, 5
κτύπος E. 11, 12
κυλίνδειν V. 8, 8
κύμβαλον E. 1, 3
κυναγωγός V. 9, 2
κυνήποδες E. 1, 4, 15
κυνόδους E. 6, 8
κυνοῦχος V. 2, 9
κυφαγωγός E. 7, 10
κωλῆ V. 5, 30

λάγιον V. 5, 13
λαπάρη V. 5, 30
λαφυροπώλης L. 13, 11
λέχριος V. 4, 3
λῆις L. 13, 11
λιγυρός V. 4, 1

λιθώδης E. 4, 1
λῖνον V. 10, 2
λόγχη E. 12, 13. V. 10, 3
λύγξ V. 11, 1

μακρόδρομος V. 5, 21
μασχάλη E. 12, 5
μεθημερινός L. 12, 2
μειρακιοῦσθαι L. 3, 1
μετάλλαξις V. 4, 4
μετοικία R. 2, 7
μετοίκιον R. 2, 1
μετοικοφύλαξ R. 2, 7
μηδαμοῖ L. 3, 4
μηχανητικός H. 5, 2
μισόθηρος V. 3, 9
μνημεῖον V. 1, 16
μόρα L. 11, 4
μύωψ E. 8, 5

νᾶμα V. 5, 34
ναυκληρεῖν L. 7, 1
νεογενής V. 10, 23
νῶτος E. 3, 3

ξενηλασία L. 14, 4
ξυρήκης V. 10, 3

οἰκόπεδον R. 2, 6
ὀκτάμηνος V. 7, 6
ὁλκός V. 9, 18
ὁμόχροια V. 5, 18
ὄνειδος V. 13, 8
ὁπλιστέον H. 1, 6
ὁπλομάχος L. 11, 8
ὁποσαχῇ V. 6, 20
ὁποτέρωθι H. 4, 15
ὀργίλος E. 9, 7
ὀρθιάδε L. 2, 3
ὀρθοδρομεῖν E. 7, 14
ὁρμητήριον E. 10, 15
ὀρφανοφύλαξ R. 2, 7
ὄρφνη L. 5, 7
ὄρχις E. 1, 15
ὀχεία E. 5, 8
ὀχληρός H. 1, 18

παγετός V. 5, 1
παλίσκιος V. 5, 9
πάνθηρ V. 11, 1
πανσέληνος V. 5, 4
παράγγελμα V. 13, 9
παράδρομον V. 6, 9
παράλογος L. 5, 3 -ως R. 5, 2
παραπηδᾶν V. 6, 22
παραφυλάττειν L. 4, 4
παρεγγύησις L. 11, 8
παρήκειν V. 4, 1
παροικεῖν R. 1, 5
παρόρμησις H. 1, 25
πάσασθαι L. 6, 4
πεζοπορεῖν H. 4, 1
πεντηκοντήρ L. 11, 4. 13, 4
πεντώρυγος V. 2, 6
πεπλασμένως V. 3, 10
περιδρομή V. 10, 11
περίδρομος V. 2, 4, 6. 6, 8, 9
περιελίττειν V. 6, 17
περικεῖσθαι E. 5, 3
περιοπτέον L. 9, 5
περιπιμπράναι V. 10, 17
περιποίκιλος V. 5, 23
περιπολεῖν R. 4, 52
περίπολος R. 4, 47
περίρρυτος R. 1, 7
περιτείνειν V. 8, 7
περιχειλοῦν E. 4, 4
περόνη E. 1, 5
πλαγιοῦν E. 7, 16

πλανητέον L. 9, 5
πλανήτης V. 5, 17
πλάνος V. 3, 6
πλατυντέον H. 4, 3
πλόκανον V. 9, 12
πλύνειν E. 5, 7
ποδώκεια V. 5, 27
ποικίλλειν H. 4, 3
πολεμίως V. 7, 11
πολύγονος V. 5, 13
πολυέλαιος R. 5, 3
πολύοινος R. 5, 3
πολυπρόβατος R. 5, 3
πολύσιτος R. 5, 3
πολυωφελής H. 1, 1
πομπικός E. 11, 1
ποππυσμός E. 9, 10
πρᾶσις R. 3, 12
πρῖνος V. 9, 13
προγραφή H. 4, 9
προδιεξέρχεσθαι V. 5, 4
προδιέρχεσθαι V. 1, 7
πρόδρομος H. 1, 25
προεδρία R. 3, 4
προέλασις H. 8, 3
προΐσχειν H. 5, 10
προκηρύττειν L. 11, 2
προσαναβαίνειν H. 1, 2
προσεπιχαρίζεσθαι H. 3, 2
προσέχεσθαι V. 8, 8
προσήλιος V. 4, 6. 5, 9
προσκλᾶν E. 7, 6
προσκόπτειν E. 7, 6
προσοικεῖν R. 1, 8
προσπελάζειν V. 6, 19
πρόσφυσις E. 1, 11
προσωνεῖσθαι R. 4, 7
προφορεῖσθαι V. 6, 15
πρωτοστάτης L. 11, 5. H. 2, 2, 6
πυγών V. 10, 2
πυθόχρηστος L. 8, 5
πυκνοῦν V. 5, 7
πυκτεύειν L. 4, 6
πωλεύειν E. 2, 1
πωλητήριον R. 3, 13
πωλοδαμνεῖν E. 2, 1
πωλοδάμνης E. 2, 2, 3

ῥαβδοφορεῖν E. 7, 11
ῥαδινός L. 2, 6
ῥᾶχος V. 10, 7
ῥυπαίνειν L. 11, 3
ῥυταγωγεύς E. 7, 1

σαρδών V. 6, 9
σιαγών E. 1, 8
σίτησις L. 5, 7
σκηνεῖν L. 5, 2. 15, 4
σκολακεύειν V. 7, 1
σκοπιωρεῖσθαι V. 9, 2
σκύτος E. 12, 10
σμῖλαξ V. 9, 12
σοβαρός E. 10, 17
σοβεῖν E. 5, 5
σοφιστικός V. 13, 7
σπουδαστέος L. 7, 3
στεγανός V. 5, 10
στεγαστέον E, 12, 7
στενότης V. 9, 14
στήριγξ E. 1, 5
στοιχίζειν V. 6, 8
στρατίαρχος L. 13, 4
στροφεῖον V. 2, 6
συγκαμπή E. 1, 8
σύγκωλος V. 5, 30

συμβολεύειν L. 2, 5
συμπαραφέρεσθαι V. 3, 10
συμπλέκειν V. 5, 6
σύμπυκνος E. 10, 10
συμπφορεῖν V. 8, 1
συνδάκνειν E. 6, 9
συνδυάζεσθαι V. 5, 6
συνεκπερᾶν V. 4, 5
συνεπιθυμεῖν H. 1, 8
συνεπικραδαίνειν V. 6, 16
συνήκειν R. 4, 44
σύνορκος R. 5, 9
συντήκεσθαι V. 8. 1
σύντονον V. 6, 7
συσκήνιον L. 5, 2
σύσκιος V. 8, 4
σύστασις E. 7, 19
σφαιροῦν E. 8, 10
σχέδην H. 3, 4
σχηματοποιεῖσθαι E. 10, 5
σωμασκεῖν L. 1, 4

τελεσφορεῖν R. 3, 5
τετράγωνον L. 12, 1
τετρώρυγος V. 2, 5
τετταρεσκαίδεκα V. 7, 1
τηρεῖν V. 6, 1
τοκισμός R. 4, 6
τομεύς H. 2, 3
τόρνος R. 1, 6
τορός L. 2, 11
τριακονθάμματος V. 2, 6
τριακοντώρυγος V. 2, 5
τριπλούς V. 5, 15
τριπίθαμος V. 9, 13
τυλοῦν E. 6, 9

ὑγραίνειν V. 5, 3
ὑγρομελής V. 5, 13
ὕδαρής L. 1, 3
ὑετός V. 5, 4
ὑπαγωγή V. 6, 12
ὑπαναστατέον L. 9, 5
ὑπεραιμοῦν E. 4, 2
ὑπερακρίζειν H. 6, 5
ὑπεραποθνήσκειν V. 1, 14
ὑπέραθμος V. 10, 20
ὑπεργεμίζειν R. 4, 39
ὑπερέλαφρος V. 5, 31
ὑπερλαμπρύνεσθαι V. 3, 7
ὑπερπαγές V. 8, 2
ὑπέρφοβος E. 3, 9
ὑπερφορεῖν V. 8, 4
ὑπόβασις E. 1, 14
ὑπόγλαυκος V. 5, 23
ὑποδοχή R. 3, 1
ὑποθεῖν V. 3, 8
ὑποκάμπτειν V. 5, 16
ὑπόκοπος V. 6, 25
ὑπολύεσθαι L. 12, 6
ὑποπίπτειν V. 10, 18
ὑποσπᾶν E. 7, 8
ὑποστέγειν V. 5, 10
ὑπόστρωμα E. 5, 2
ὑποχαλινίδιος E. 7, 1
ὑποχαροπός V. 5, 23
ὑποχάσκειν E. 6, 8
ὑφηλαυχενία E. 10, 13

φανός L. 5, 7
φέλλειον V. 5, 18
φιλίτιος L. 3, 5. 5, 6
φιλοκέρδεια V. 13, 12
φιλοπάτωρ V. 1, 4
φλοιός V. 9, 18
φορβειά E. 5, 1
φραγμός V. 11, 4
φρουρά L. 13, 1, 11
H. 6, 3
φρύαγμα E. 11, 12

φυλέτης H. 2, 5
φύσημα E. 11, 12
φωρᾶν R. 4, 21

χαλαρότης E. 9, 9. 10, 13
χαλίνωσις E. 3, 11
χαμηλός E. 1, 3
χαροπός V. 3, 3
χάσκειν E. 10, 7
χρηματιστέον L. 7, 3

ψάλιον E. 7, 1
ψεκάς V. 5, 4
ψευδαγγελία H. 5, 8
ψευδατόμολος H. 4, 7
ψευδοβοήθεια H. 5, 8
ψηλαφᾶν E. 2, 4
ψῆξις E. 5, 3, 10
ψύχειν V. 5, 3

ὠή V. 6, 19
ὠνή R. 3, 12

Società Editrice Dante Alighieri di Albrighi, Segati & C.

Insegnamento della Lingua Greca

Bassi I. — **Prose e poesie greche** scelte ed annotate ad uso della 1ª classe liceale in conformità del programma governativo 11 novembre 1904 . . . . . L. 3,50

Bonino G. B. — **Brani scelti di prosa greca** ad uso delle scuole classiche. 2ª edizione ampliata e corretta . . » 1,80

— **Antologia della lirica greca,** compilata ad uso dei licei. » 2,00

Curtius G. — **Grammatica della lingua greca,** abbreviata, e ridotta ad uso delle scuole italiane per cura di C. Fumagalli. 3ª edizione arricchita d'un'appendice sul dialetto Jonico . . . . . » 2,25

Freund G. — **Il dialetto Jonico d' Erodoto e d' Omero** brevemente esposto. Versione ad uso dei corsi liceali, di C. Fumagalli, 4ª edizione accresciuta di alcuni cenni sulla prosodia greca. . . . . » 1,00

Fumagalli C. — **La vita domestica e pubblica dei Greci e dei Romani,** brevemente esposta, 3ª edizione ricorretta » 1,50

Fuochi M. — **Il primo anno di Lingua greca** — Nuovi Esercizi ad uso della 4ª ginnasiale in relazione alla grammatica greca del Dott. R. Wessely ed in conformità dei programmi governativi 11 novembre 1904. . » 1,50

Jebb R. C. — **Elementi di letteratura greca,** tradotti col consenso dell' autore da C. Fumagalli, 3ª edizione riveduta . . . . . » 1,50

Morino T. — **Antologia di prosa e poesia greca** per la 5ª classe ginnasiale secondo i programmi governativi 11 novembre. . . . . » 1,50

Ostermann C. — **Esercizi di versione dal greco in italiano e viceversa.** Traduzione italiana del Prof. Carlo Fumagalli. Parte Prima, per la quarta classe ginnasiale . » 1,80

Parte Seconda per la quinta classe ginnasiale . . . » 1,80

Rocci L. — **Nuovi esercizi greci,** con antologia e copioso vocabolario, ad uso del ginnasio superiore in conformità dei programmi governativi 11 novembre 1904 . » 3,00

Wessely R. — **Grammatica greca** ridotta alle nozioni fondamentali ad uso delle scuole. Traduzione italiana del Prof. M. Fuochi. I Morfologia . . . . . » 1,50

FEB 16 1910
DUE DEC 7 '32